δὲ ὥσπερ μητρὶ ὑπὸ παίδων προύκαλεῖτο. μόνη δὲ συμβολῶν ἑλλάδος

διεστήρησε· καὶ συνεσκίασε τὰς κατασχούσας τότε συμφοράς. πολλὰ
ἐπὶ ἐναντία πράγματα, οὐδὲν ἧττον τῶν ὑποδεῶν φιλίππου· ἀλλ' ἐδείχθη
σαφῶς, ὅτι καὶ αὐτὴ καὶ τοῦ πολέμου, τῶν ἑλλήνων ἐστὶ καὶ τὰ τῆς
πόλεως ἐναντιώματα, τῶν ἑλλήνων ἁπάντων ἐστίν. οὐ γὰρ πρότερον
τῆς ἡγεμονίας ἀπέστησαν φιλίππου, πρὶν ἡ πόλις τὴν ἐλευθερίαν παρε-
δέξατο. ἔχων δὲ πολλὰ καὶ συντονώτερον εἰπεῖν καὶ μάχας ἀτόπων
καὶ τολμήματα θαυμαστὰ καὶ καρτερίαν ὑπὲρ φύσιν, οὐκ ἐπὶ τὸ ὀρθὸν ἐνηνέχθαι
ἀφήσω αὐτά. τοσοῦτον δὲ εἰπὼν περὶ θῆς τοῖς περὶ τούτων λόγοις,
ἀπαλλάττομαι. τέτταρας αὐτίκα ἀριθμῷ πολέμους ἡ
πόλις πεποίηται. τοὺς μὲν αὐτὴ δι' αὑτήν. τοὺς δὲ ὑπὲρ τοῦ κοινοῦ
τῆς ἑλλάδος. τοὺς δὲ ὑπὲρ τῶν ἀεὶ μὴ δεηθέντων. καὶ τούτοις αὖ
τοῖς τοῖς δεηθεῖσιν, ἐν οἷς ἂν ἀφῶσι διώκετο. καὶ οἷς ἐγκαλεῖν εἶχεν αὐ-
τοῖς πρόσθεν. φημὶ τοίνυν ἐγὼ τουτὶ μόνον τὸ σχῆμα τοῦ πολέμου πάσας
ὁμοῦ τὰς λοιπὰς καὶ πράξεις ὑπερέχειν, ὑπὲρ ἃς οὔσας. πλείους γάρ εἰσιν
οὓς ἡ πόλις ἀγνωμονήσαντας εἰς αὐτὴν ἔσωσεν, ἢ ὅσοις μόνον χαίρειν
εἴποι τις ἀπομνημονεύσας. λέγω δὴ θηβαίους ἀπὸ λακεδαι-
μονίων. καὶ αὖθις ἀπὸ λακεδαιμονίων. λακεδαιμονίους ἀπὸ
θηβαίων. εὐβοεῖς ἀπὸ θηβαίων. ὅτε δὴ τῆς ἀρετῆς δείγματα ἐξή-
νεγκεν. τοῖς μὲν τὰς πόλεις φυλάξασα καὶ τὴν χώραν. ὑφ' ὧν ἀπεστέ-
ρηντο σὺν αὐτοῖς. τοὺς δὲ ἐκράτησεν ὑπὸ πᾶσιν ἀναστᾶσα. αὖθις
ἀβοέας ἀπὸ φιλίππου. βυζαντίους. περινθίους. χερρονησίτας. χαλκιδέας
τοὺς κατ' αὐτήν. ἐπὶ τῶν μυρίων. ἀνθ' ὧν εἶχεν ὑπὸ ἰδιώτου πολλὰ

εἰκόνα ποιήσασθαι, τὰς Ἀθήνας προσήκει μόνας. καὶ τὴν μὲν ὥσπερ
ἄγαλμα κοινὸν τῆς Ἑλλάδος. ὅπερ γὰρ τῇ πόλει τὸ πρυτανεῖον,
τοῦτο τὴν πόλιν πᾶσι κοινὴν γεγονέναι τοῖς Ἕλλησιν. ἐν ταῖς χρείαις τῶν
ξένων πάντων καὶ τῶν ἐπιγραμμάτων καλλίστας ἀπὸ τῶν σχομένων τὰς ὑποθέσεις.
ὃ τοίνυν ἔξω μὲν κινδύνων πέπρακται, οὐδενὸς δ᾽ ἧττον ἐμφα-
νίζει τὴν πόλιν τὸ τῶν Ἀθηναίων πρᾶγμα, ἐν μὲν τοῖς ἄνω λόγοις
κοινῶς διέφυγε· νῦν δ᾽ ἴσως οὐ χεῖρον ἀποδοῦναι. γενομένων γὰρ
αὐτοῖς συνθηκῶν πρὸς Λακεδαιμονίους, ἐὰν κρατήσωσι τῶν βαρβάρων
αὐτοὺς τοὺς μηδίσαντας, ἐπειδὴ παρῆλθον οἱ κίνδυνοι, τῆς ἔχθρας
ἐπελάθοντο. καὶ Λακεδαιμονίους ὁρμωμένους ποιεῖν τὰ δεδογμένα
διεκώλυσαν. ὁρῶντες τὸ τῶν πόλεων πλῆθος, αἷς ἔμελλεν ἡ Ἑλλὰς
ἐλάττων γενήσεσθαι. οὕτως οὐ μόνον τῶν κοινῶν ἀγαθῶν τῶν Ἑλληνικῶν,
ἀλλὰ καὶ τοῖς ἐξ ἀρχῆς ἁμαρτοῦσι καὶ ἐς αὐτὴν καὶ ἐς τοὺς Ἕλληνας, ἐλεή-
σειεν ἂν δή ποτε ἡ πόλις. καὶ ὅσα ἐνίκησεν, ἀκριβῶς ὑπὲρ
ἁπάντων ἐνίκησε. καὶ περὶ μὲν τούτων ἱκανά. τῶν δ᾽ οὐδενὸς δὲ μετέχει
τοσοῦτον ὁ Ἑλληνικὸς, ὅσον ἐν ταῖς κοιναῖς εὐφημίαις ἐκοινώθη, ταῦτα
ὑπὲρ ὧν εἶπον, παύσομαι. καὶ γὰρ ὥσπερ οὐθὲν εἶτόν μοι φαίνεται, λόγοι
ταῖς πράξεις κοσμοῦντα. τοσοῦτο καὶ αὐτὴν τοὺς μέσους περιῆλθεν
τῶν πολεμίων. μόνοι γὰρ ἁπάντων ἀνθρώπων, τὸ λεγόμενον δὴ τοῦτο, ἀναιμωτὶ
τρόπαιον ἐστήσατε· οὐχ ἀπὸ Βοιωτῶν, οὐδ᾽ ἀπὸ Λακεδαιμονίων, οὐδ᾽ ἀ-
πὸ Κορινθίων, ἀλλ᾽ ἀπὸ τῶν ὁμοφύλων ἁπάντων. λέγω δὲ ὅλως
αὐτοὺς Ἕλληνας προσεῖποι, πρὸς βαρβάρους ἀντιδιαιρούμενος.

ἀλλ' ἀπὸ τῆς κοινῆς γλώττης τῶν Ἀθηναίων. καὶ νίκην ἀμέλει ταύτην ἔντιμον καὶ μεγάλην κατὰ παντὸς τοῦ χρόνου. οὐ κατὰ τὴν ἐν Τανάγρᾳ μάχην τὴν ἀμφίδοξον. οὐδὲ μὰ Δία κατ' ἐκείνην τὴν ἐν Μαραθῶνι, τὴν τοσοῦτον νικῶσαν. ἀλλ' ὡς ἀληθῶς τὴν πρέπουσαν Ἀθηνᾷ καὶ τέχνῃ, καὶ τῷ Διὸς παιδὶ προσήκουσαν, ἐν λόγοις. ἅπασαι γὰρ αἱ πόλεις, καὶ πάντα τὰ ἀνθρώπων γένη, πρὸς ὑμᾶς καὶ τὴν ὑμετέραν δίαιταν καὶ φωνὴν ἀπέκλινε. καὶ οὐ γραφαῖς ἐγκαθεστηκυίαις ἡ δύναμις τῆς πόλεως συνέχεται. ἀλλὰ πάντων ἑξῆς ἐπὶ τὰ δοκοῦντα ἄκρα τῶν ἀρχομένων, καὶ τοιούτων ἑαυτοὺς ὡς δυνατὸν τῇ πόλει καὶ συναπτομένων καὶ παισὶ καὶ ἀνδράσι, τοῦ παρ' ὑμῶν καλοῦ μεταλαβεῖν. καὶ οὔτε Ἡρακλέους στῆλαι ὑφέλκουσιν, οὔτε λίθοι Κελτῶν οἷς ἐσχάτη ὁρίζεται. οὐδ' ἂν ὁ σπόρος καὶ ὁ ποταμὸς βούλεται. οὐδὲ ἠπείροις ὅροι καὶ κλίμα. ἀλλὰ πᾶσαν τὴν γῆν τύχῃ τινὶ θείᾳ ζῆλος περιέχεται τῆς ὑμετέρας σοφίας καὶ συνηθείας. καὶ ταύτην μίαν φωνὴν κοινὴν ἅπαντος τοῦ γένους ἐνόμισαν. καὶ δι' ὑμῶν ὁμόφωνος μὲν πᾶσα γέγονεν ἡ οἰκουμένη. ἰδεῖν δ' ἂν καὶ τοὺς ἡνιόχους καὶ τοὺς νομέας καὶ τοὺς ἀπὸ τῆς θαλάττης ζῶντας, καὶ πάντα ὅσα ἔθνη, καὶ κατὰ πόλεις καὶ κατὰ χώρας, τῆς παρ' ὑμῶν φωνῆς ἐχομένους. καὶ πεφυκμένους αὐτῆς ἀνθάπτεσθαι, καθάπερ τῆς γῆς τοὺς νῦν ἀδυνάτους. Ταύτην ἐγώ φημι τὴν μαρτυρίαν ὡς ἀληθῶς δαιμόνιον καὶ πάντως εἶναι κοινήν, καὶ παρ' ὑμῶν αὐτῶν καὶ τῶν παρ' ὑμῖν πρώτων, διαφερόντως ἐστὶν οὐκ ἐφεῖναι στήμμα

τῆς ἀθηναίων πόλεως τὴν νίκην. οἱ τὰς μὲν περὶ φωνὰς Ἕλληνες πα-
καὶ κατασχεῖν θέλειν ἂν ἐν σοφίσιν αὐτοῖς διαλεχθῆναι τὰ ἀρχαῖα.
περὶ ὄντων μαρτύρων. πάντες δὲ ἐπὶ τὴν δὲ ἦ ἐλθοῦσιν, ὡς
περὶ ὅρον τινὰ παιδείας νομίζοντες. ταύτην ἔχω τὴν μεγάλην ἀρ-
χὴν καλῶς τῶν ἀθηνῶν. οὐ τείχους διακοσίας. ἢ πλέον. οὐδ' αἰῶ-
νιαν. οὐδ' αἰγαίου πόντου. οὐδὲ τὰ ἐπὶ θαλάττης. ἀμυρίους μυριάδας βαρβά-
ρων ἄρχοντας. τοσοῦτον γὰρ τὸ διάφορον τῶν διαλέκτων πρὸς
ἅπαντας τοὺς ἄλλους, ἐξ ἀρχῆς τε ἦν, καὶ ἔτι μᾶλλον ἐξεφάνη τῷ
χρόνῳ, ὥστε οὐ μόνον Ἕλληνες παντὸς σχεδὸν ἢ διὰ τῶν ἄλλων. οἱ δὲ
τοσοῦτον ἀνθεῖν, ἀλλὰ καὶ φύσει ἐν αὐτῆς. ἁπάσας τὰς τῶν ἀνθρώπων
φωνάς, καὶ μὴ ὅτι βαρβάρων, ἀλλ' αὐτῶν τῶν Ἑλλήνων, τοῖς
τῶν ἑλληνιζομένων παίδων ῥήμασι προσεοικέναι, ὥστε τῇ παρ'
ὑμῶν παραβάλλειν. μέχρι μὲν γὰρ δισυλλάβων ῥημάτων. καὶ ἀκο-
αῖς. καὶ τὸ ποῖον. ὥσπερ οἱ παῖδες. τὸ δὲ λοιπόν. ἔπος ἤδη
καὶ πάντα ἡ ἔρχεται. μόνη δὲ ἥδε, πάσαις μὲν πανηγύρεσι πᾶ-
σι δὲ συλλόγοις καὶ βουλευτηρίοις σύμμετρος. ἔτι δὲ ἅπασι καιροῖς καὶ
τόποις ἁρμόττει. καὶ ἰδίᾳ πρέπει. δύο γὰρ τὰ πρῶτα σχεδὸν
ὡς εἰπεῖν κέκτηται μόνη σεμνότητα λέγω καὶ χάριν. ἀλλὰ μὴν
τοῦτο διὰ παντὸς ἀγῶνος. καὶ τόνου. καὶ ἤθους. καὶ κράτους, τίς ἂν
οἷός τ' εἴη καὶ πλησίον ἐλθεῖν, ἐπεὶ ἂν ἡ μείζων γλῶττα. καὶ οὐχ ὡς
ἀληθῶς παίζοντα ... ἅπασιν, ἵνα πρεπωδέστερον εἴπω. καὶ γὰρ
πᾶσα μὲν ποίησις ἡ παρ' ὑμῶν ἀρίστη καὶ τελεωτάτη. καὶ ὅσον σεμνότος

καὶ ὅσα χαριέντως προεστήκει. εἰ δὲ δεῖ καὶ τὸ μαρτύριον προσθεῖναι, μετέχ-

καὶ ταύτης τῆς φιλοτιμίας ἡ πόλις· οὐ μόνον διὰ τὰς ἀποικίας τοῦ λόγου, ἀλλ' ὅτι

καὶ ἡ φωνὴ σαφῶς ἐντεῦθεν. ἅπαντες δὲ οἱ λόγιοι διὰ πάντων τῶν χρόνων,

οἱ παρ' ὑμῖν ἄριστοι. καὶ νῦν οἱ πρὸ ὑμῶν ἐποίησαν. καὶ σχεδὸν,

οἱ διὰ πάντων ἐν Ἕλλησιν εὐδοκιμήσαντες. ἅπαντες τὴν τῶν Ἀθηναίων

δύναμιν ἐμιμήσαντο. εἰ δὲ δεῖ τι καὶ τὸ καθ' ἡμᾶς τουτονί

ἐστὶ τῶν ἰδιωτευόντων, καὶ τοῦτο ἡμᾶς ἀναφέρει. οὐχ ἥκιστα ξενίαν

γε ἐπὶ τῶν λόγων καταγγεῖλαι. ὥσπερ γὰρ περιουσία ἐξ ἀρχῆς

ἀφεῖσα τῇ πόλει, ὅσον τοῖς ἔργοις περίεστι τῶν ἄλλων, καὶ τε-

σοῦτον αὐτῇ προσθεῖναι τοῖς λόγοις. ἵνα αὐτή τε κοσμοῖτο

ὑπὸ τῶν ἑαυτῆς ἀγαθῶν, καὶ μηδὲν τῶν ἄλλων δέοι. καὶ τοῦτο χρῆ-

μα τῶν ἄλλων χαρίζεσθαι. περιττὸν μὲν οὖν τοὺς καταφυ-

γόντας ἐφ' ὑμᾶς τῶν ἱκετῶν διεσώζετε. νῦν δὲ ἀτεχνῶς

πάντας ἀνθρώπους, καὶ πᾶσαν γλῶτταν, τῇ καλλίστῃ τῶν εὐεργεσιῶν ἀνέ-

χετε. ἡγεμόνες παιδείας καὶ σοφίας ἁπάσης γιγνόμενοι. καὶ πάντα

ἅπαντα χοροῦ καθαίροντες. τοῖς μὲν γὰρ τῶν Ἐλευσινίων τελε-

ταῖς ἐσφραγισμένοις ἐξηγηταὶ τῶν ἱερῶν καὶ μυσταγωγοὶ κα-

θεστήκατε. διὰ παντὸς δὲ τοῦ χρόνου πᾶσιν ἀνθρώποις τῶν ἑαυτῶν μύθων

δὲ φοραὶ ἱστοριῶν ἐξηγηταὶ καὶ διδάσκαλοι καθεστήκατε. αὐτῶν

ἅπαντας ταῖς πρεπούσαις ἑορταῖς ἐφ' ἡμέρας οὐχ οἷόν τε ὑπο-

κινοῦντες. ἀλλὰ τῷ καλλίστῳ τῶν φαρμάκων τῷ λόγῳ. ὅπερ

οἱ θεοὶ πάντων ἀντάξιον ἀνθρώποις μόνῳ τῶν ἄλλων ἐδωρήσαντο.

ὥστε τὰς μὲν ἄλλας πόλεις ἁπάσας οἱ λιμένες, μετὰ τὴν ἑαυτῶν
φαίνονται καὶ πατρίδα. ἡ δὲ τῆς Ἀθηναίων, ἀντέστραπται. Καὶ
πάντες, οὐ τὴν ὑμετέραν ποιοῦνται λιμένα, μετὰ τὴν ἑαυτῶν. ἀλλὰ
τὴν ἑαυτῶν, μετὰ τὴν ὑμετέραν. ὡς ταύτην οὖσαν τὴν ἀληθῶς
οἰκείαν καὶ προτέραν. Καὶ οὐδ᾽ ἂν ἴσως νεμεσηταί. ὥσπερ γὰρ τοὺς θεοὺς
καὶ πρὸ τῶν γονέων τιμᾶν νενομίκαμεν, ὡς κοινοὺς ὄντας ἁπάντων γονέας
τε καὶ εὐεργέτας, οὕτω τὴν κοινὴν πατρίδα τοῦ γένους, πρὸ τῆς ἰδίας
ἀναγκαῖον τιμᾶν. ἀξιοῦν τοίνυν ἔγωγε τῆς αἰδοῦς εἶναι. ὅσον πρὸς ἅπαντα
ἐστί τε καὶ γέγονε τῇδε τῇ πόλει. καὶ κατὰ πάντας αὐτῆς χρόνους.
οὐ γὰρ μόνον Ἀθήνησιν ἡ τῆς Ἑλλάδος ἀεὶ οὕτω τῶν πρωτείων, ἀλλὰ
κἀν ταῖς μεταβολαῖς, οὐδὲ μία ἐστίν, ἥτις ἐξ ἴσου ταύτῃ [illegible].
Φίλιππός τε γὰρ ἀτυχήσας τῇ περὶ Χαιρώνειαν μάχῃ, τὴν μὲν Θη-
βαίων πόλιν, εὐθὺς φρουρᾷ κατέλαβε. τὴν δὲ τῶν Ἀθηναίων,
εὐθὺς οὐδ᾽ ἰδεῖν ὑπέμεινεν. ἀλλ᾽ ἔσχε κατὰ χώραν. αἰδοῖ τοῦ κρείττονος.
Καὶ ὁ μετ᾽ αὐτὸν Ἀλέξανδρος. ὡς αὐτὴν πρὸς αὐτὴν ἔσχε θεραπευτικῶς.
ἥ τε νῦν ἀρχὴ μεγίστη τε καὶ τελεωτάτη, ἣ δὲ ἀθάνατος, οὐκ ἀναίνεται
τὰς Ἀθήνας μὴ οὐ διδασκάλων καὶ σοφιστῶν κοσμεῖν. ἀλλὰ
τοσαύτη τῶν λιμένων ἐστὶν ἡ περιουσία, ὥστε τοσοῦτον ἡ πόλις ἔτι ὅμως
πράττει τὰ νῦν, ὅσον οὐ πραγματεύεται. τὰ δὲ τῆς ἄλλης εὐδαιμονίας μείζω
δὲ ἢ παραπλήσια ἐστὶν αὐτῇ. τοῖς ἐπ᾽ ἐκείνων τῶν χρόνων. ὅτε τῆς
Ἑλλάδος ἦρχε. καὶ προσόδων ἕνεκεν ἢ προεδρείας, ἢ τοῦ παρὰ
πάντων συγκεχωρηκότος. ὁ δὲ πάντων ἀσφαλέστατον, ὅτε μὲν ἦρχε

γρ. εὐτυχήσας· εὐδαιμονήσας· [illegible]

γρ. πρόσω αὐτοῦ

τῆς τῶν ἑλλήνων. καὶ διετήρει καὶ ἕλληνας καὶ βαρβάρους
νικῶσα. οὐ δὲ μόνον ἔδοξεν ἧττον ἔχειν τοῖς ὕστερον, τοῦτο
τοσούτῳ κάλλιον ἀπήλλαξε καὶ ἀτυχεστέρων δὲ τῆς ὅσης, ὥστε τῶν μὲν,
αἱ πόλεις ἀπολώλασιν. ὅσαι δὲ καὶ λοιπαί, τῷ τῆς ἀρχῆς ἄγονται νόμῳ.
καὶ φόροις καὶ τοῖς ἄλλοις ἀναγκαίοις ὑπόκεινται ὑπὸ τῆς δε. ἡ δ'
οὐ τοσοῦτον ἠλαττώθη ποτ' οὐδεὶς τοσοῦτου χρόνου, ἐξ ὅσου γε μνημονεύομεν
τοῦδε, οὐ μόνον πρὸ ἐκείνων, ἀλλὰ καὶ πρὸ τῶν ἄλλων τετίμηται. δηλοῦν
δέ. πλὴν μὲν γὰρ οὐδεὶς ἂν φιλοτιμοῖτο περὶ δι. οὐδὲ αἰγαῖος. ἀθηναῖος
δὲ οὐδεὶς ἐστὶν ἑλλήνων. ὅστις οὐκ ἂν δέξαιτο μᾶλλον, ἢ τῆς ὑπαρχούσης
πόλεως πολίτης γεγονέναι. οὐ μόνον δὲ τὰ τῶν ἰδιωτῶν. οὕτω προσ-
βλέπουσι τὰς ἀθήνας, ἀλλὰ καὶ πόλεις, αἱ μὲν, ὡς εἰκότως ἐνθένδε καὶ
παρ' ὑμῶν ᾠκισθεῖσαι, ἀξιοῦσαι ὡς ἀφ' ὑμῶν οὖσαι ἅπασιν, ἡ τὴν
ἴσην ὑμῖν νομίσαι τὸ δύναμιν. αἱ δὲ, μὴ ἀπ' ... ἐπεισέρχονται ζητοῦσαι
τρόπον τινὰ ἐς ὑμᾶς ἀνενεγκεῖν. ἀλλὰ μὴν, πέντε μὲν ἐστὶ μικροῦ βασι-
λειῶν. μείζονες δὲ πλειόνων. τούτων δὲ ἐπὶ μὲν τῆς ἀσσυρίων
τῆς πρεσβυτάτης, αἱ πρῶται τῆς πόλεως εἰσὶ πράξεις. καὶ ὅσα τῶν
μήδων, εἰς τοῦτον μὲν ἐπὶ πλεῖστον χρόνον. ἐπὶ δὲ τῆς δευτέρας, ἦρξεν ἡ
πόλις. τὴν δὲ τρίτην διὰ τέλους ἐνίκησεν. ἐν δὲ τῇ τετάρτῃ, μόνη
μὲν ἀντέσχεν. ἄριστα δὲ ἀπήλλαξε τῶν ἄλλων. ἐπὶ δὲ τῆς πάντων
ἀρίστης καὶ μεγίστης τῆς νυνὶ καθεστηκυίας, τὰ πρεσβεῖα παντὸς ἔχει
τοῦ ἑλληνικοῦ. καὶ πέπραγεν οὕτως, ὥστε μὴ ῥᾳδίως ἂν τινὰ αὐτῇ
τἀρχαῖα ἀμφὶ τῶν ὑπόντων συναλλάξασθαι.　　γνοίη δ' ἄν τις

ὅσων τῇ πόλει περίεστιν ἐκ τοῦ παντὸς αἰῶνος, εἴ τε τὰ ὑπάρχοντα
αὐτῇ. πάντα μὲν οὐκ ἴσως δυνατόν· μᾶλλον δὲ σαφῶς ἀδύνατον.
ἀλλ᾽ ὅστις εἰ ἐγχωρεῖ διεξιούσας, ἀλλὰ ἄλλῃ πόλει καὶ χώρᾳ προσθείς, εἴ τε τὰ
ἀγῶνα τῷ λόγῳ ποιήσεται, καθάπερ ποιητῶν ἢ χορῶν. οὐ γὰρ καὶ ἄδηλον
τελευτῆς καὶ σαφῶς ἐκ τοῦ ἔργου ῥᾳδίως. οἷον ἐφιλοτιμοῦντο· ἡ μὲν ὡς
πρώτη τεκοῦσα τὸ τῶν ἀνθρώπων γένος. ἡ δὲ ὡς πρώτη δέξασα
τοὺς καρπούς. ἡ δ᾽ ὡς πλείστοις μεταδοῦσα. ἡ δ᾽ ἔτι ὡς νόμους κατα-
δέξασα. ἡ δὲ ὡς πανηγύρεις. ἡ δ᾽ ὡς ἐν καλλίστοις κεῖται γῆς,
ἅμα καὶ θαλάττης. ἡ δὲ τοῖς τῆς σοφίας ἀγαθοῖς ἀγάλλοιτο. ἡ δὲ τὰς
ἐν τοῖς πολέμοις πράξεις καταλέγοι. ἄλλη δὲ ὅσους ὑπεδέξατο τῶν
ἱκετῶν. ἡ δὲ τὰς ἀποικίας ἃς ἀπέστειλεν. ἡ δ᾽ ὅ τι καὶ δοίη τις αὐτῇ
τῶν ὑπαρχόντων τῇ πόλει, φήμη γοῦν μάλιστ᾽ ἂν οὕτω γένοιτ᾽ ἂν κατα-
φανές, ὁπόσοις ἡ τοῖς κρείττοσιν ἡ πόλις ἡ μὲν τὰς ἄλλας
περιελήλυθεν. ἀλλ᾽ ἄρ᾽ ἐξαρκεῖ ἐν ἅμα μόνη τῇ Ἑλλάδι. τοῦ δ᾽ ἐπὶ μόνη
συλλήβδην εἰρῆσθαι. Καίτοι νῦν ὥσπερ τοῖς ἅπασι τοσοῦτον περί-
εστιν, οὕτω καὶ καθ᾽ ἕκαστον αὖ πολλοῖς τοῖς εἰς ταὐτὸν φέρουσιν ἀγάλ-
λεται. οἷον τῶν μὲν θεῶν αὐτῶν, δέδομεν τὰ πρῶτα καὶ μέγιστα,
ἥ τε ἐν τῶν θεῶν τιμή, καὶ ἡ περὶ αὐτοὺς σπουδή. τούτων δ᾽ αὖ τῶν
μὲν περὶ τὰς τῶν θεῶν τιμάς, ποτέρας ἄν τις ἐπὶ ζημίας ἐποιεῖτο. αἷς τὸ
κοινὸν ἐτίμησεν, ἢ ταῖς τροφαῖς αἷς ἔθρεψαν τοὺς ἐν τῇ γῇ, καθάπερ
παῖδας ἑαυτῶν. ἢ ταῖς δίκαις ἃς ἐποιήσαντο. καὶ τῶν γε δικῶν αὖ,
πότερα ἃς πρὸς ἀλλήλους περὶ τῆς πόλεως ἐποιήσαντο, ἢ ταῖς ἐν τῇ πόλει

πρὸς ἀλλήλους ὑπὸ τῶν διαφορῶν· ἢ τὰς ἀναμὶξ ἥρωσι
καὶ θεοῖς δίκας, τὰς ἐνταυθοῖ γινομένας. καὶ μὴν τῶν γε δώ-
ρων ὡσαύτως οὐράνιον τὴν μεγίστην ἀρχήν· ἁμιλλᾶσθαι δὲ
καὶ περὶ τούτων, ἄλλην πρὸς ἄλλην πόλις· ἡ μὲν τὸν Δήμητρος
καρπὸν κομίζουσα· ἡ δὲ τὸν τοῦ Διονύσου· καὶ τοῦτον οὐ μόνον τὸν
ἀπὸ τῆς ἀμπέλου, ἀλλὰ καὶ τῶν ἄλλων ἀκροδρύων· ἡ δὲ τρίτη λεγομένη
τὴν τῆς Ἀθηνᾶς δωρεάν· καὶ ταύτην διπλῆν· ἀρ' οὖν πολλαῖς πό-
λεσι μεριζόμενα, ἐξαρκεῖ τὰ ἐκ τῶν θεῶν ἐν ἅπασι φιλοτιμίας, τῶν
ἐχόντων τὸ κάλλιστον· αὐθίς τοίνυν τὰ πρὸς τοὺς θεούς, τοῦτο μέν, οἱ νεῴ·
τοῦτο δέ, αἱ δι' ἔτους θυσίαι καὶ πρόσοδοι· ὧν τὰ μέν, παρ' ὑμῖν
πρώτοις γεγένηται· τὰ δ' ἐς ὑπερβολὴν ἔτι καὶ νῦν γίγνεται· τῶν
δ' ἀρρήτων τελετῶν, ὧν τοῖς μετασχοῦσι μετὰ τὴν τοῦ βίου τελευτὴν
βελτίω τὰ πράγματα γίγνεσθαι δοκεῖ, εἰς ὑμῶν ἐξαρκεῖ φάναι, πάντων
ἐν αὐτῇ θέσθαι. ἀλλὰ μὴν ἥ γε πρὸς τοὺς ἀνθρώπους ὁμιλία, ἣν ἐκ
πέφαγκε ὁπόσον διετεσίαν· πρῶτον μέν γε, ἡ τῶν καρπῶν μετά-
δοσις· ἔπειτα, ἡ τῶν τεχνῶν ἐπίδειξις· τρίτον, ἡ κατὰ τοὺς πολέμους
προστασία· τέταρτον, ἡ διὰ τῆς σοφίας ἀεὶ πᾶσι γινομένη, εἴς τε
ἰδίους οἴκους καὶ εἰς τὰ κοινὰ τῶν πόλεων ἐπικουρία· τῆς τοίνυν
σοφίας αὐτῆς, πότερον τοὺς νόμους ἐπαινοῖς, οἷς εἶναι οἱ πολλοὶ χρῶνται
τοῖς ὑμετέροις, ἢ τοὺς λόγους, καὶ τῶν λόγων, πότερον τοὺς περὶ τὴν
ῥητορείαν, ἢ τοὺς διαλεκτικούς, ἢ τὴν ποίησιν, ἢ τὴν ἄλλην συγγραφήν,
εἰ δὲ βούλει, ἢ τῆς ποιήσεως εἶδος· ὃ ἡ γὰρ πρῶτον ἡ τραγῳδία πάντων

σοφιστ.

ἄποις τῆς πρώτης, ἐσώθη πόλις. σκόπει δὴ καὶ τὰς τῶν πολεμίων.
τοῦτο μὲν τοὺς ἰδίους ἀγῶνας. τοῦτο δὲ τοὺς ὑπὲρ τῶν ἄλλων. αὖθις αὖ.
τὰ ἐν τῇ οἰκείᾳ κατορθώματα. καὶ πάλιν γε τὰ ἐν τῇ ὑπερορίᾳ. ὁμοίως
Ἕλλησι καὶ βαρβάροις. καὶ πότερον τὴν ἀνδρείαν, ἢ τὴν φιλανθρωπί-
αν δεῖ, τὴν ἐν τοῖς πολεμίοις ἐννοῆσαι. ὥσπερ γὰρ ἐκ μιᾶς πηγῆς, πάνθ' ὅσα
ἂν μεγίστης πάλιν εἰς ἄλληλα συρρεῖ καὶ συμμίγνυται. εἰσὶ μὲν ταῖς δ' ἐρ-
γασίαι, οἵ τε πολέμιοι τὴν χρείαν τῶν δεχθέντων, καὶ τὰ ἀπὸ τῆς σοφίας ἀγαθά· εἰς δ' αὖ
τοὺς πολεμίους, τά τε οἰκεῖα. καὶ τὰ ὑπὲρ τῶν δεηθέντων. πάλιν τοίνυν τῶν
ἢ ὑπὲρ αὐτῶν. ἢ ὑπὲρ τῶν ἄλλων πολέμων, πότερον τὰς ναυμαχίας χρὴ
λέγειν, ἢ τὰς πεζομαχίας. ἢ τὰς ἱππομαχίας. ἢ τὰς τειχομαχίας. κατὰ πάντα
γὰρ ταῦτα, κρατίστη ἡ πόλις. ἰδοὺ βούλει. τί τῶν ἐν τῇ θαλάττῃ μὲν
μέγιστον ἀνδρῶν. ἢ τί τῶν κατὰ γῆν πρῶτον. τρεῖς δ' οὗτοι ὅροι ταύτης στάθμων. οἷς
οὐ μὴν ἔα ταύτην, ἀλλὰ τούς τε ἄλλους ἀναμφισβητήτως ὑπερβέβληκε. πε-
ζομαχία μὲν. ἡ μαραθῶνι. ναυμαχία δ' ἡ ἐν σαλαμῖνι. ἱππομαχία δέ.
ἀπορῶ μέν. ἐν τῇ ταναγραίων. ἔστι δὲ ἡ ἐν μαντινείᾳ. τειχομαχία μὲν γάρ,
οὐδὲ ἀμφισβητήσειν οὐδεὶς πώποτε. καὶ τοίνυν. πότερον τὰ πλήθη τῶν τρο-
παίων, ἢ τὰ μεγέθη τῶν ἔργων θαυμασόμεθα. ἢ πῶς τὴν ἀξίαν ἀποδώσομεν.
οὕτω καὶ διὰ πάντων καὶ δικαίως, πολλαχῶς νικῇ. καὶ γὰρ ἀγῶνας
πλείστους καὶ μεγίστους. καὶ ὑπὲρ καλλίστων ἐποιήσατο. καὶ τρόπαια πλεῖστα
καὶ κάλλιστα ἐκ τῶν ἄθλων. καὶ λόγοι πλεῖστοι καὶ κάλλιστοι καὶ διὰ πάντων
ὑπερέχοντες. οἱ τῆς δέ τῆς πόλεως. προσθήσω δὲ καὶ παρὰ τῆς δ' ὅς.
Καὶ στρατηγοὶ σοφώτατοι. καὶ ὀξύτατοι. καὶ ἀσφαλέστατοι. καὶ δικαιότατοι.

Καὶ πλεῖστα σύμπαντες οἱ τῶν Ἑλλήνων· ἵνα δὲ ἀπὸ τῶν φαυλοτάτων, δι' ὧν τοῖς
ὅλοις τῶν ἀνθρώπων βίος πληροῦται· τῇ τῶν ἀναγκαίων εὐπορίᾳ· τοῖς τε πᾶ
σι καλοῖς· τῇ τῶν πρὸς τὸν πόλεμον κατασκευῇ. δυοῖν γὰρ ὄν
τοιν καιροῖν, εἰρήνης καὶ πολέμου, ὃ μὲν ἀμφοῖν κοινόν ἐστι· τὸ δὲ,
τῷ τῆς εἰρήνης ἀνειμένῳ καιρῷ· τὸ δὲ, ἀμύνεσθαι δυνατοὺς εἶναι
ποιεῖ, περὶ τῶν ὑπαρχόντων. τούτων τοίνυν ἔστω μὲν ὅ,τι τις βούλεται
μάλιστα· βίων δὲ καὶ πόλεων δεδόσθω πάντα· ἑκάστῃ ἕκαστον.
φημὶ τοίνυν ἐγώ, καθ' ἣν ἄν τις αὐτῶν κρίνῃ, τῆς πόλεως εἶναι τὸ
νικᾶν· πάντα γὰρ αὐτῇ δέξασθαι. καὶ πανταχῇ ἐπὶ πλεῖστον προσ
θεῖσα φανήσεται· οὕτω πᾶσι τοῖς κριταῖς νικᾷ. καὶ πρός γε
ἔτι ταῖς χώραις ἁπάσαις· ὥστ' οὐκ ἄλλης ὀνήσεσθαι ἐπεὶ, ὅτι
χὴν καὶ πρώτην, καὶ δευτέραν, καὶ τρίτην αὐτὴν ἐν τοῖς ἄλλοις
κρείττω, ὥσπερ ἐν ἅρμασιν. ἣ δὴ καὶ ἅρματι ἀπὸ τῶν Ἀθηνῶν
τὸ ἀρχαῖον, οὐκ ἀπὸ σκηνῆς. Εἶεν. ἀλλὰ ταῦτα μὲν τοιαῦτα.
τὰ δ' αὖ τοῦ μεγέθους καὶ τῆς ἄλλης κατασκευῆς, τίς οὐκ ἂν ἀξία
τῆς ὅλης τύχης εἴποι, καὶ τοῦ μεγάλου τῶν Ἀθηναίων ὀνόματος.
τοῦτο μὲν, αὐτὸν τὸν κύκλον τοῦ ἄστεος· μέγιστον μὲν τῶν Ἑλληνικῶν.
κάλλιστον δὲ τῶν ἁπανταχοῦ. καὶ σχεδόν που τέχνῃ καθήκοντα πρὸς τὴν
θάλατταν, ἡ μηκέτι οὐδεμίαν ἔχει τὰ σύμπαντα. καὶ πρὸς τὴν θα
λάττῃ κύκλους ἑτέρους ἀντιστρέφοντας τῶν περὶ τὴν πόλιν. ἀλλὰ
τοὺς λιμένας πάρεστι δὴ περιθεωρεῖν. ὧν ἕνιοι λαμπρότεροι τῶν
ἀλλαχοῦ πόλεων εἰσὶ κατεσκευασμένοι. Καὶ πάντα δὴ τὸν κόσμον

Καὶ ὃν πρὸς τῆς φύσεως καὶ ὃν πρὸς τῆς τέχνης ἐφά
μιλλον καὶ ἐν τῇ πόλει καὶ ἐν τῇ χώρᾳ· τῶν μὲν ἀδελφικῶν, ἀ
κρότης οὕτως ἐξαίρετος τοῦ πολλοῦ, καὶ λιμένων ὑπερβολή·
τῶν δ' ἕκαστος, ἀντάξιος πολλῶν· ἔτι δ' αὖ τῆς ἀκροπόλεως
ἐν ὑψηλοῖς· καὶ ὅσα ὥσπερ εὐρὺς ὁ χάρις προσβάλλον πανταχοῦ· ὃ
δὲ καὶ ἐν αὐτοῖς τούτοις ἄξιον ἐπισημήνασθαι, ταῖς μὲν γὰρ ἄλλαις
πόλεσιν ὅπως ἂν ἔχωσι τοῦ δεσμοῦ, τῆς γε αὐτῶν χώρας ἐπὶ
ἴσης ἡ τελευταία συμβέβηκε· τοῦ δὲ τῆς πάσης Ἀττικῆς ἀέρος
οὕτως ἔχοντος, ἄριστος καὶ καθαρώτατός ἐστιν, ὁ τῆς πόλεως ὑπερέ
χων· γνοίης δ' ἂν αὐτὴν ἐπὶ τῆς πόρρωθεν ὥσπερ αὐγῇ· τῶν ὑπὲρ
κεφαλῆς ἀέρων. Καὶ τὰ μὲν παρὰ τῆς φύσεως, τοιαῦτα· πολλὰ τῶν
ὄντων ἀφθόνως· τῶν δ' αὖ τῆς τέχνης, τὸ μέγιστον χρὴ εἶναι· ἡ τῶν πρωτευόντων
ὑπερβολή· νεώς τε γὰρ ἐνταῦθα οἱ αὐτοὶ μέγιστοι καὶ κάλλιστοι τῶν
ἁπανταχοῦ· καὶ ἀγάλματα ἀνδριάντων ὁσιωτάτων, τῆς πρώτης
τέχνης, τὰ πρῶτα καὶ παλαιὰ καὶ καινά· πρὸς δὲ τούτοις,
βιβλίων ταμιεῖα, οἷα οὐχ ἑτέρωθι γῆς φανερῶς· καὶ μάλα ἄλλα
θηκῶν ὀσμὸς οἶκος· καὶ οἷα δὴ τῆς παρούσης ἔξουσι καὶ διαι
τήματα· λουτρά τε σεμνότητι καὶ τρυφῇ νικῶντα· καὶ δρόμοι· καὶ γυμνά
σια· ὥστ' εἴ τις τῆς πόλεως ἀφέλοι· τοὺς ἐκ χθονὸς, τοὺς κέκροπας·
τὰ μυθώδη, τὰ τῶν καρπῶν, τὰ ἐκτόπια τὰ ἐν τῇ γῇ καὶ τῇ θαλάττῃ·
τοὺς ἀγῶνας· τοὺς ἄνδρας· πάντα δι' ὧν τὸν αἰῶνα διεξελήλυθε· σώζοι
το δ' ἂν αὐτὴν τῶν ὑπὸ τὰς νεφέλας ἐν ἑαυταῖς, ἐξαρκεῖν

αὐτὴν τοῖς ὀρθῶς σκοπουμένοις νικᾶν. Καὶ μὴν τὰ μὲν ἔσχηκε τὰ δὲ ἔχει· καὶ οὔθ' οἷς ὑπερέχει ἀφῄρηται τὴν μνήμην, οὔτ' αὖ τῆς παρούσης εὐδαιμονίας ἀπολείπεται· ὥστε καὶ τούτων φίλον με μνῆσθαι· ἀλλὰ μόνη δὴ πόλεων, τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς νικᾷ· τὰ δὲ καινὰ τοῖς καινοῖς· εἰ δὲ βούλει, τὰ μὲν παλαιὰ τοῖς καινοῖς· τὰ δὲ καινὰ τοῖς παλαιοῖς· τοῖς ἑαυτῆς λέγω, τὰ τῶν ἄλλων. κατίδοι δ' ἄν τις κἀνθένδε τὰς ὑπερβολὰς αὐτῆς· ὅσοι γὰρ καὶ μικροῦ τινος μετέσχον τῇ πόλει κεκοινωνήκασιν, τῶν ἄριστοι τῶν ἄλλων ἀγάλλονται. ἡ δ' οὖν Ἠλείας μὲν φιλοτιμεῖ ὑπὲρ τῶν οἷς τισιν οἴκοι ὑπαρχόντων· τῶν δὲ αὐτῆς οὐδὲν ἀκοινώνητον ἔχει διὰ τέλους. οἷον Ἀρκάδες οἱ παλαιότατοι τῶν Ἑλλήνων ἀξιοῦσιν εἶναι· ὧν ἡ τῶν Ἀθηναίων πόλις. ἢ ὅλως, ἐγγὺς ὅμοια τὰ τῶν Ἀρκάδων παλαιά, τοῖς τῶν Ἀθηναίων. οὐδ' ἂν εἷς φήσαι δικαστὴς κοινός· Ἀρκάδες αὐτόχθονες· μετά γε Ἀθηναίους. Καὶ τοῖς Δελφοῖς αὖ νικῶνται, τῇ τῶν καρπῶν εὑρέσει καὶ δόσει· δῆλον δέ· ἐκ τῶν ἐνταῦθα φερόντων Ἑλλήνων τὰς ἀπαρχάς· ἀλλ' οὖν ἔνδοξοι· ἄριστοι Λακεδαιμόνιοι τῶν πεζῶν τῶν πόλεων· ἀλλ' ἡ τῶν Ἀθηναίων πόλις· καὶ τά γε δ' ἄλλα τῆς ἐκείνοις ἐν φιλοτιμίᾳ καθέστηκεν. ἔχει ταῖς Θήβαις χάριν καὶ τιμὴν, τῆς τῶν θεῶν γενέσεως. τούτων τοίνυν, ὃ μὲν, ἐν τῇ Ἀττικῇ τὴν δωρεὰν ἔφηνε· τῶν δέ, πρῶτοι τῶν Ἑλλήνων Ἀθηναῖοι θεὸν ἤγαγον, χωρὶς τῶν διὰ Θησέως πρὸς αὐτὴν κοινωνιῶν. ἀλλὰ καὶ τῆς Πλαταιᾶς Θηβαίων ῥώμης, ἅπαντες μέμνηνται. ταύτης

παλαιοῖς · καινοῖς

ἐν τῇ Ἀττικῇ

ἡ πόλις αἰτία. καὶ ὅτε ἔδει τἀναντία πράττειν, οὐκ ᾔδεσαν.
ἅπαντα δ' ἄν τις ἔχοι καθ' ἓν διελθεῖν, δικαιοσύνης ἕνεκεν. ἡ τοίνυν πόλις
οὐχ εὑρίσκεται μόνον τὰ δίκαια, ἀλλὰ καὶ βραβεύουσα τοῖς ἄλλοις
διαγωνίζονται. ἐνδοξότατοι πάντων, οἱ κατὰ τὴν Ἑλλάδα ἀγῶ-
νες. καὶ μὴν τούτων πρεσβύτατος ὁ τῶν Παναθηναίων· ὁ δὲ σεμνότατος,
ὁ τῶν Ἐλευσινίων. ἔστι καὶ πάντας αὐτοὺς ἡ τῆς πόλεως δωρεὰ συγ-
κροτεῖ. λέγω γὰρ ὅσοι τῆς πόλεως, τὴν παρὰ τῆς Ἀθηνᾶς. στέμματα
κοσμοῦντες ἀγάλλονται τοῖς ἱεροῖς. καὶ ἑξῆς πάντων ὀνομαστότατα ἐστί· πλὴν
τῶν Ἐλευσινίων. ἀλλὰ καὶ δῆλος αἴτιος τοῖς ἄθλοις. ἡ δ' ἐστὶ τῆς πό-
λεως. τὸ δὲ δὴ καὶ τὴν ψήφου ὁδὸν ἔργον εἶναι τῆς πόλεως. καὶ
τὴν θεωρίαν τὴν Πυθιάδα Ἀθηναῖοι μόνοι πάτριον, τί ἂν εἴποις,
ἢ τῶν θεωριῶν ἅπαντα ταῦτ' εἶναι, βουλομένων ἁπανταχοῦ τῆς Ἀθην-
ᾶς προσβολήν, καὶ πᾶσι τοῖς πρώτοις καλοῖς ἐπιβάλλειν
τὴν πόλιν. ἔτι τοίνυν ὅσοι ἂν τῶν κατὰ τὴν Ἀσίαν πόλεων,
μεγάλων φιλοτιμοῦνται. αἱ δὲ κατασκευὴν καὶ λουτρῶν τῆς χρείας κρατ-
ίονι. καὶ ταῦτ' ἐστὶ παρὰ τῇ πόλει πρὸς ὑπερβολήν, καθάπερ περὶ τὸ
σῶμα ὡς καὶ σχεδόν. καὶ τὸ κάλλιστον, αἱ γὰρ τοῖς ἄλλοις ἐν ἀγάλμασι δόξαι
ὅσου δεῖν ἔχει, τούτων ὑμεῖς τοὺς νεὼς καὶ τὰ θέατρα κέκτησθε. ἀγάλ-
ματα θαυμάζεται. καὶ τούτων πρῶτον εἶναι κατὰ τὸ παρ' ἡμῖν
ἐν τῇ πόλει, χωρὶς τοῦ καὶ τἄγαλμα πανταχοῦ κάλλιστα, προσήκειν τῷ
δεῖν εἶναι τῇ πόλει. ἁπάντων γὰρ τοὺς τῶν ἀρίστων, αὕτη πεῖ.
καὶ σοφίας ἁπάσης καὶ τέχνης ἡγεμόνα. τοὺς οὐ μόνον τοῖς ἀγάλμα-

ἀλλὰ καὶ τοῖς ἀγάλμασι ποιοῖς αὐτοῖς πρέπει ἐστίν. ἀλλὰ μὲν

παρὰ μὲν ἄλλα ἵνα μηδὲ τοῦτο παραλείπωμεν. τῶν ἐνδόξων ἐπὶ σοφίᾳ γενο-

μένων, εἷς ἀπὸ τῆς πόλεως ἐγένετο· καὶ δυοῖν ἀρίστοιν νομοθέταιν,

ἅτερος αὐτὸς οὗτος. δύο τοίνυν ἀνδράσι τῶν περὶ Ἀθήνησιν

ψῆφον δεδόσθαι παρειλήφαμεν. λιθουργῷ τε τῷ λαμπρῷ δαιμο-

νίω, καὶ ... παρ' ὑμῶν. ὥστε καὶ τῆς ἐπὶ τοῖς καινοῖς

καὶ τῆς ἐπὶ τοῖς ἄλλοις φιλοτιμίας, μετέχειν τὴν πόλιν. καὶ μηδ' ἓν

εἶναι τῶν ὀνομαστῶν, ὅτῳ μὴ τῶν Ἀθηνῶν ὄνομα ἐπιφημίζεται.

ὃ τοίνυν ... ποῖον τῶν ἐν τοῖς ... ἐστὶ

μότατον καὶ ἀνισώτατον, τὸ ἐν ἀρετῇ πάλαι πάντας ἀμφισβητεῖν

καὶ ... τινὸς κοινοτάτοις καὶ δημοτικωτάτοις ἐχρήσαντο, ἡ

τῶν Ἀθηναίων πόλις. ὁμοίως Ἀθηναῖοί τε καὶ πᾶσιν ἀναγκαῖον ἐπ-

εὶ τὰ ... ἐθέλοιεν. καὶ μὴ διὰ πάντων ἀποθνῄσκειν,

σύγχρονον καὶ λόγου καὶ χρόνου. μόνοι δὲ ἁπάντων ἀνθρώπων, τοιαῦτ'

ἐνομίσατε. τὸν μὲν ὑπὲρ τῆς πόλεως τελευτήσαντα, αὐτῶν μὲν ἐ-

παινεῖν ἐπὶ ταῖς ταφαῖς καθ' ἕκαστον ἔτος λόγον. τοὺς δὲ παῖδας,

δημοσίᾳ τρέφειν, ἄχρι ἥβης. καὶ τηνικαῦτα ἀποπέμπειν ἐπὶ τοὺς

πατρῴους οἴκους μετὰ τῶν πανοπλιῶν. τῶν τοὺς δ' ἀδυνάτους

τῶν πολιτῶν, δημοσίᾳ τρέφειν. ὥστε καὶ τὴν δύναμιν καὶ τὴν ἀδυνα-

μίαν τιμῶντες, ἐδείξατε τῶς ἑκατέρων προσῆκε. ψηφίσματα

τοίνυν πόθεν ἔλαμπε τῆς φιλανθρωπίας. τὰ μὲν τοῖς

ἠρημένοις ἐστὶ ... τοὺς περὶ ... χαίρειν, ...

καὶ διὰ παντὸς τοῦ περὶ ταῦτα λόγου, τὸ κατ᾽ Ἄρθμιον τοῦ Ζελείτου
νικῆσαν. ὃν ἐπὶ τῷ τοῦ βασιλέως διακονεῖν, χρυσὸν ἤγαγεν εἰς Πελοπόν-
νησον, πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων ἐψηφίσαντο αὐτὸν,
καὶ γένος ἄτιμον. καίτοι μόνον τοῦτο, πάντων ὁμοῦ τὰ τῶν
ἄλλων ἀπολείπεται. πρεσβείας τοίνυν πλείστας μὲν ἐδέξατο.
πλείστας δὲ ἐξέπεμψε. καὶ τοῦτο ἐκεῖνο μὲν ὅλως ὁμολογεῖται, ὃ δὲ
μή, τῇ προσθήκῃ μεῖζον γίγνεται. πλείστας γὰρ ὑπὲρ τῶν
ἀδικουμένων ἀπέστειλεν. ὅθεν μὲν οὖν ἡ κοινὴ τοὺς Ἕλληνας μὴ πο-
λεμεῖν ἀλλήλοις ἑκάστοτε πάθους, ἢ τοὺς ἐν χρείᾳ παραμυθουμένη
διεπρεσβεύσατο, ἀναγκαῖον παραλιπεῖν διὰ πλῆθος. δυοῖν δὲ
καὶ ταῦθ᾽ ὑπομνησθησόμεθα. Ἀργείους μὲν γὰρ στασιάζοντας ἐν αὑτοῖς
ἔπαυσε. Κρῆτας δὲ πολεμοῦντας πρὸς ἀλλήλους διήλλαξεν. οὐ
πρεσβείας τοίνυν ἅμα καὶ πρᾳότητος καὶ φρονήματος, τίς ἂν ἐπι-
δείξαι τι κάλλιον. Ἠλείων γὰρ ψηφισαμένων ποτὲ μὴ δέ-
χεσθαι τῇ πανηγύρει τὴν ἐνθένδε θεωρίαν, καὶ διαπρεσβείας ἀπ-
ειπόντων τῇ πόλει μὴ πλεῖν πρίν, κοσμήσαντες ὁμοῦ τούς τε θεωροὺς
καὶ τοὺς ὁπλίτας, ἀπέστειλαν. ὡς δ᾽ ἦσαν ἤδη ἐν Ὀλυμπίᾳ, ἐκεῖνοι μὲν
ἠγνωμόνουν δεδιότες. οἱ δέ, τὴν θεωρίαν πέμψαντες, τοὺς ὁπλίτας ἐπανή-
γαγον. ἀλλὰ μὴν τῶν γε μυστηρίων, τὰ μὲν ὡς ἀρχαῖα τετίμηται.
τὰ δὲ ὡς ἀναγκαῖα. τὰ δ᾽ ὡς πλείστοις γνώριμα. πάσαις τοίνυν ταῖς
ψήφοις, προφέρει τὰ ἡδονῆς. καὶ περὶ μὲν τῶν ἀγώνων, οὐχ ἥκιστα
ὁ λόγος. μόνοι δὲ τῶν Ἑλλήνων, κατ᾽ ἐνιαυτὸν ἕκαστον, ποιοῦσι πανηγύρειν.

οὐδὲ μιᾶς πω τὸ εἶδος φαῦλον. ἡ δὲ χάρις (αν) τῆς πόλεως ἐπὶ
πλέον, ἢ ἔστιν ἐν πάσῃ πόλει. Καὶ πάντες ὀνομάζουσι τὴν παροῦ-
σαν ἑορτὴν κοινὴν πολυανθρωπίᾳ. ἀγαμέμνων ἡρακλέους
Καὶ Διὸς ἐκ γῆς, ἀπάντων δὴ τῶν θεῶν ἐπαινουμένη. τὴν
δὲ μὴ ἕως τὸ μίλιον αὐτοῖς, πρώτοις ξένων ἡ πόλις δείκνυσι
τὰ ἱερά. ὥστε, οἷς κοινῇ τὰ δρώμενα, τούτων ἐξ ἐποιήσατο αὐτὴ
φαίνεται. Καὶ μὴν ἀγῶνας γε τοὺς πρώτους ἤγου, μία δὴ πόλις
αὕτη πλείστους ἁπάντων εἶναι δοκεῖ. ὥσπερ δὲ ὅπου, ἅπαντα, ἢ παρ'
ὑμῖν ἐστι μόνοις, ἢ καὶ παρ' ὑμῶν. καὶ ἰδίων, οὔτε τι συμβέβηκε.
τὰ μὲν γὰρ παρ' ὑμῶν ἤρξατο. τὰ δὲ ὡς μάλιστα παρ' ὑμῖν ἐστι. τὰ δὲ,
ὡς πλεῖστα. Εἰσὶ τοίνυν οἱ μηδὲν ἔχοντες φαῦλον δόξαι μηδὲ
τῶν ἔργων ἑαυτῶν. μηδὲ φόρτῳ εἶναι ἂν φέροντες, ἐπὶ τοὺς
ξένους καταφεύγουσι χρόνους. ἢ φιλοτιμίας ἀμφισβη-
τοῦσιν. οὐ δοῦ τῷ λέγοντες οὐδὲν κοινὸν ἑαυτῶν. ἀλλ' ἑνὸς ἀνδρὸς
δόξῃ ἐξαρτώμενοι. οἷον, Φθιῶται καὶ Πύλιοι. καὶ Ἰθακήσιοι.
ὥσπερ τινὸς γλώττης, διὰ ἑνὸς τῶν πλουσίων ἑαυτοὺς ποιοῦμεν.
ἡ πόλις δέ, πρὸς τὸ μηδενὸς δεῖσθαι τοιαύτης καταφυγῆς, οὐδὲ τοῦ
ἔσται τοῦ ὀνόματος. ἀλλ' ὁ κοινὸς τῶν ἑλλήνων ποιητής, ἐν τῷ κα-
ταλόγῳ τῶν νεῶν τε καὶ πόλεων, τὸν ἀθηναίων στρατηγὸν δὶς ἄνδρα
φησὶν ἠθέλησαι (κοσμῆσαι) ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας. καὶ τό γε
πλέονος ἄξιον καὶ καθαρὸν τῆς εὐφημίας, τὴν μὲν γὰρ ἄλλην οὐ
ἐπαινεῖ κατ' ἐξ τὴν τοσούτου μᾶλλον εἰ ἦν καὶ ἄλλως πως τὸ σαφῆ

ἂν οὕτω τέχνῃ τῶν Ἀχαιῶν ἢ τῶν Τρώων, οὕτως ἐπαινεῖ. φησὶ
γοῦν, αὐτῶν ἠδ' ἵππων, οἳ ἅμ' Ἀτρείδῃσιν ἕποντο. μετ' ὀλίγον δὲ τί λέγει.
τῶν τότε ἐπὶ τὸ Ἴλιον ἐλθόντων, ὡς ἄρα ἦν κράτιστος τὴν τοξι-
κήν. Καὶ Νέστωρ αὐτὸς λέγει πρός τινας τῶν ἐφ' ἑαυτοῦ λαμπρῶν,
ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέ περ ὑμῖν ἀνδράσιν ὡμί-
λησα· καὶ ἑξῆς ἀπαριθμεῖ πολλούς τινας. ὡς αὖ κἀκείνους παρα-
πλησίους ἀλλήλοις ὄντας. οὐδένα ὑπερέχοντα ἐπιφανῶς αὐτῶν.
γὰρ δὴ μὲν ἑαυτοῦ καθόλου μὲν αὐτὸς ὁ ποιητὴς οὐδεμιᾷ προσθήκῃ τοιαύτῃ κέ-
χρηται. ἀλλὰ τὸν Ἀθηναῖον πάντα περικόψας, ὃν ἐπαινεῖ φησί. τῷ δ' οὔ πώ τις ὁμοῖος
ἐπιχθόνιος γένετ' ἀνήρ. ἐν δέ γε τοῖς ἄνω, μικρὸν τοῦτο διηγεῖται
περὶ τοῦ βραχέως. ὡς σφετέρω μὲν αὐτὸν ἤθει. τέως δ' ἔγωγ' οὐκ οἶδα
ἴσως οὐδὲ διὰ ἀπειρίας, τοὺς μὲν ἄλλους οὐκ ἐφ' ἑκάστων κραδίης
ὡς εἴσεσθε. μηδὲ προσθήκης ἢ τῶν χρόνων ἢ τῶν γενῶν αὐτοὺς ἀνα-
γορεύειν, ὃν δὲ τῶν ἁπάντων τῆς γῆς φρονίμων ὡς ἄριστον ἐπαινεῖ,
τοῦτον ὡς διὰ πάντων τῶν ἐν τῇ γῇ φρονίμων, ἄριστον ἐπαινέσαι. δῆλο-
ν τοίνυν ἀρίστους τὰ πρὸς τὸν πόλεμον τιθεὶς τῶν Ἀχαιῶν, Τελαμώνιον
Αἴαντα τὸν ἕτερον λέγει τῶν ἐπωνύμων. ἐν τῇ διηγήσει καὶ τοῦτο λέγεται
οἰκονομικὸν κατὰ τὴν Λακεδαιμονίων πολιτείαν. ὅτι αὐτοῖς ὁ θεὸς συνέταξε
τὰς κατ' ἀρχὰς τῶν νόμων. ὁ δέ γε αὐτὸς οὗτος θεὸς, τάς τε φυλὰς
φαίνεται διατάττων τῇ πόλει, καὶ τὰ γένη. καὶ τὰς ἑκάστοις προσηκούσας
θυσίας, θεραπείας. ὡς προσκυνεῖν βασιλέας καὶ ἄρχοντας, καὶ τὴν ἄλλην
πολιτείαν σχεδὸν ἅπασαν διαθεὶς αὐτοῖς. ὥστε οὐχ ἧττον ἂν εἰκ

115

τῆς πόλεως ὁ θεὸς νομοθέτης, ἢ κἀκεῖνο μέν. βούλομαι

δὲ καὶ περὶ τῆς πολιτείας αὐτῆς μνησθῆναι διὰ βραχέων, ὥσπερ

οἷός τε ὦ. καὶ γὰρ ἅπαντες μὲν αὐτὴν ἐγκωμιάζουσιν. ἀκριβῶς

δὲ διηρθρώσατο καθ' ἅπαν τὸ εἶδος σχεδὸν οὐδείς. ἐγὼ δὲ ἁπλοῦν τε

καὶ οὐχ ἁπλοῦν λέγω. τρεῖς γὰρ οὔσας τὰς ἀνωτάτω δι-

λέσθαι τῶν πολιτειῶν, ἥτις αὐτῇ ἥδεται, ἐν ποίᾳ τίθεσθαι. βα-

σιλείας μὲν τῷ τῆς ἀρχῆς φαίνεται χρωμένη, γενεὰς οὐκ ὀλίγας

εἶναι. οὐ μόνον τῶν Ἐρεχθειδῶν, ἀλλὰ καὶ τῶν ὕστερον ἀξίων ὀφθέντων.

δημοκρατίᾳ δὲ αὖ καὶ παιδὶ γνώριμος. καὶ καθαρωτάτῃ δὴ καὶ

μεγίστῃ τῶν πασῶν ἢ τῶν μνημονευομένων. καὶ μὴν δὲ τὴν ἐξ Ἀρείου

πάγου τιμὴν βλέψαντα, πάντ' ἂν ἡγοῦμαι φῆσαι μὴ εἶναι καθα-

ρωτέραν ἀριστοκρατίας ἐκείνης. μὴ δή τις σῴζει μᾶλλον τοὺς νόμους.

οὕτω πάντα τὰ τῶν πολιτειῶν παραδείγματα, ἐνθένδε ὥρμηται.

καθάπερ γὰρ νομοθέτιν τοῖς ἄλλοις ἡ πόλις, περὶ τὴν αὐτ-

ῆς ἐπὶ τοὺς εἶναι τοῖς ἐκλέγεται τὸ πρόσφορον. οὕτω πάντα δι-

ξαίρετα καὶ πρόσδηλα ἐκείνου. βοηθοῦσα τῇ φύσει παν-

ταχοῦ. ὥσπερ καὶ κατὰ τοὺς καρποὺς καὶ πολλὰ ἔτι ἐπιδεικνυμένη

αὐτήν γε βεβουλευμένη. ὃ δέ γε τιμιώτερον καὶ τελεώτερον,

οἵ τε γὰρ βασιλεῖς αὐτοὶ φαίνονται διαφερόντως τῶν ἄλλων τὴν

κοινότητα ἀγαπήσαντες. καὶ μάλιστα δὴ περὶ τοὺς πολλοὺς

ἐξ ἴσου ταῖς γνώμαις καταστάντες. ὅ τε δῆμος, ἔστιν ἃ ἄρχοι τῶν

πολλῶν ὑπερέχοντα, ἐθελοντὴς ἑαυτοὺς πεισάμενος, καὶ χρώμενος

ὅσον ἄρχοντι δεῖ κεκτῆσθαι· ἔτι δ' αὖ τὸ τοῦτο καὶ τοῖς ὀλίγοις φυλάττειν,
ἢ τῶν μὲν ἄλλων ἀμείνους ὄντας αἰσθάνοιτο, ἐφαμίλλους δὲ ω
σφίσιν αὐτοῖς· ὥσπερ αὖ πῶς δὲ ἡ βουλὴ ἔνδημον ὅπως μὴ
καταστασιάσοιεν αἰεί· ἔτι δ' αὖ τῆς οὐδέπω ποτὲ ἰδίᾳ διαλογισα
μένη· ἀλλὰ ταύτην καὶ κοινὴν καὶ γινομένην πλὴν ἐξεῖναι ἀνω
αὐτῆς καὶ ἄγειν· ἔτι τῶν πολλῶν τὴν ἱστορίαν μετὰ τῆς δόξης ἰδίας περι
σῶσθαι· ὥς τις ἦ πως οὐ μόνον κατὰ τὴν πολιτείαν ἑκάστην,
ἀλλὰ καὶ κατὰ τὴν κρᾶσιν τῶν πολιτειῶν, παρὰ πάντας τοὺς
ἄλλους εὐδοκιμοῦμεν εἶναι τῇ πόλει. ὥσπερ γὰρ ὁ πᾶς οὗτος
κόσμος, συνέστηκε μὲν ἐκ τεσσάρων ὡς ὁ παλαιὸς λόγος, αὐτὸ
δὲ ἕκαστον αὐτοῦ μετέχει τῆς φύσεως καὶ τῶν λοιπῶν, τῷ δ' ὑπερ
βάλλοντι τὴν ἐπωνυμίαν χωρεῖς ἕκαστον ἔδοξε εἰληφέναι, οὕτω
καὶ τὰς πολιτείας· ἣ καὶ ὅτι μάλιστα κεχωρισμέναι τυγχάνουσι,
μετέχειν ἀμῶς γέ πως ἀλλήλων δῆλόν ἐστιν. ἐπεὶ βασιλέων
ὀρθῶν ἢ δικαίαν ὄψεσθαι μέλλομεν, ἢ τῶν ὀλίγων, τῶν ἑαυτῶς
δὲ πολλὰ ἀρχήν. γνοίη δ' ἄν τις, εἰ τὰς μὲν βασιλείας τὰς ἐν
τῇ πόλει, πρὸς τὰς ἑτέρωθι περὶ βασιλέας ἐπὶ τῶν αὐτῶν χρό
νων ἢ τῆς Ἑλλάδος ἢ τῆς βαρβάρου γῆς ἀφορῷ· τὴν δ' αὖ
δημοκρατίαν τὴν Ἀθήνησι πρὸς τὰς ἑτέρων δημοκρατίας·
καὶ μὲν τό γε τῆς βουλῆς συνέδριον, πρὸς τὰ ἑτέρωθι πυκνεῖα
καὶ ἡγούμενα. εἰ γὰρ δεῖ τῶν ἄλλων ἁπάντων ὑπὸ τῆς δημο
κρατίας μόνης εἰπεῖν, φανήσονται τοῖς μὲν σχήμασι καὶ

ταῖς ἐπιθυμίαις. πολλοὺς προπεπτωκότας καὶ ὑβριστοτάτους πάντων
οἱ τοῦ σχήματος τούτου μετασχόντες· τῶν δ' ἀξιωμάτων καὶ τῆς
λαμπρότητος μηδ' ἐγγὺς τοῖς ἀπὸ τῆς πόλεως γιγνόμενοι.
Καὶ μὴν ἐκεῖνό γε ἡ πόλις πρώτη κατέδειξε. μὴ ἐπιθεᾶσθαι
πλούτῳ· μηδὲ θαυμάζειν. οὔτε γὰρ τοὺς ὑπερέχοντας ταῖς
οὐσίαις οὐδέπω ποτὲ ἐπῆρεν. ἀλλ' ὅσον μὴ ἀδικεῖσθαι, διὰ τοῦ
τοσοῦτον αὐτοῖς ἐξεῖναι παρ' αὐτῆς ὠφελεῖσθαι, οὔτε τοῖς ἀρετῇ
μὲν ὑπερφέρουσι χρήμασι δὲ ἐλλειπομένοις, οὐδαμόθεν πώποτε ἔλαττον
ἔνειμεν. αἰσχρὸν εἶναι νομίζουσα. τῶν μὲν οἰκετῶν, οὐ τοὺς
εὐπορωτάτους. ἀλλὰ τοὺς πιστοτάτους βελτίστους νομίζειν,
τῶν δὲ ἐλευθέρων φάσκοντων εἶναι τὴν ἀξίαν ὡρίσθαι χρή-
μασιν. ἀλλὰ μὴ ὁποῖός τις ἂν αὐτὸς ἕκαστος ᾖ, τοιοῦτον καὶ νομί-
ζεσθαι. Καὶ γάρ τοι μόνη πόλεων, οὐ μετέθηκε [illegible].
οὐδὲ ἐποίησε τὰ τῆς φύσεως τρίτα, τῶν νόμων πρῶτα· οὐδὲ τῶν
περὶ τῶν φασκόντων φιλοσοφεῖν ἔστιν ἰδεῖν ἐνίους, λέγοντας μὲν οὕτω
περὶ τούτων, ἔργῳ δὲ ὑποπίπτοντας, καὶ συγχωροῦντας αὐτοῖς τούτων
ὧν ἂν αἴσθωνται δεινοτέρους. ἀλλὰ καὶ εἰς ἀρχὰς ἄγουσα καὶ
ἐπιστολὰς καὶ πάντα ἀξιοῦσα τιμῶν οὐχ ἑώρα τὸ τέλος τῶν
ἀπὸ τῶν μεγίστων τιμημάτων. ἀλλὰ τοὺς ἐπιεικεστάτους ταῖς φύσεσι.
ὥστε ὅστις δι' ἀρετῆς λόγον νικῴη, τοῦτον τοῖς πᾶσι νικῶντα.
ἐπεδείξε δ' οὐχ ἥκιστα, ἡνίκα ἴσχυσε τὰ μάλιστα. οὕτω γὰρ καὶ τοὺς
τοὺς αὐτοὺς χείρους ἐπιφανεστέρους ἀνδρῶν παρ' αὐτῇ, τῶν μὲν πλουσί

ὑπὲρ τὰ πρῶτα τῶν ἑλληνικῶν οἰκῶν, τῶν δ' ὄντων οἷον τοῦ
πενεστάτων ἐπὶ τὴν προστασίαν τῶν ἑλληνικῶν ἕνα τῶν
ἀπὸ τούτων ἐλέγετο. καὶ γάρ τοι, ὁ μὲν οἷς ἔταξεν οὐδ' ἐμικρὸν
ἡ πόλις ἡμῶν ἐκρίνετο. πολλῶν δ' ὄντων ἅ τις ἂν περὶ τῆς
πολιτείας ἐπαινῶν ἔχοι, τὰ πολλὰ καὶ προκατείληπται. καὶ
ὁ καιρὸς ἀφαιρεῖται. καὶ οὐ πᾶσαν ἀνάγκη λέγειν. ἓν δέ τι
προσθεὶς καταλύσω καὶ τὸν περὶ τούτου λόγον. τὸ γὰρ εἶναι
τὸ περὶ βέλτιστον καὶ τὸ κατ' ἐξουσίαν συμμεμῖχθαι ἐνταῦθα,
καὶ τὴν μὲν δίαιταν κοινοτάτην ἅπασι, τὰς δὲ τιμὰς τοῖς ἀρί-
στοις ἀνεῖσθαι, πῶς οὐχ ἡ σωτηρίας πόλεως καὶ πολιτείας
συνθήκη; ὡς ἐνῆν ζῆν μὲν ἔξεστιν ὥσπερ ἄν τις βούληται, τιμᾶσθαι
δὲ καὶ ἰσχύειν οὐ τοῖς βουλομένοις ἐστὶν, ἀλλὰ τοῖς ἐξητασμένοις.
καὶ γάρ τοι καὶ τοῖς τῶν πολεμίων ἀγῶσι καὶ ταῖς χρείαις, οὐδὲν
διέφθειραν, οὐ ταῖς ἐζημιωμέναις, οὐδ' ἂν ἡ ἄλλως πλοῦτος ἐπὶ μοῖραν
ἐσπούδαζον ὑπὸ τῶν πραγμάτων. ἀλλὰ πάντες ἐξίσου ταῖς προ-
θυμίαις κατὰ δύναμιν ὡμιλλῶντο, ὡς ὑπὲρ κοινῆς τῆς πατρίδος
καὶ κοινῶν τῶν ἄθλων ἀγωνιζόμενοι. καὶ οὐχ οἱ μὲν τοσούτ-
ων τοῦ κινδυνεύειν, ἑτέροις δὲ τοῦ δεσπόζειν ἀνεπράττοντο οἱ
προκείμενοι. ἐξ ὧν ὁμόνοια μὲν καὶ πίστις ἀλλήλων ἐνῆν κατὰ
τὴν πόλιν. εἰ δέ που καὶ διαστασιάσειεν, οὐχ ἅμα ἐπὶ πᾶσιν ἀλλήλοις,
ἐγνώριζον. ἀνδράσι δ' ἔπειτα δεῆσαι, χρόνος ἅπαντα τἄλλα πρὸς
ἀνάγκην ἦν. ἐνίοις μὲν οὖν, οὐδὲ πλούτῳ θέλουσι δοῦναι οἱ πολλοί

νικῶντας, ζηλωτοὺς τοῖς πᾶσι κρατεῖν. ἐν ποίοις δ' ἄν τις

καιροῖς ἔχοι βελτίων εἶναι, τῆς πόλεως μιμούμενος. πότερα ἐπὶ

στρατείαις, ἢ πόθεν ἂν λάβοι καλλίω παραδείγματα; ἢ ποίοις

ἂν λόγοις χρησάμενος, βέλτιον ἂν πολιτεύσαιτο. ἀλλ' ἐν

ταῖς πανηγύρεσιν, ἀλλ' αὐτὴ τούτων ἡγεμών. ἀλλ' ἐν ταῖς ἐκ-

κλησίαις, καὶ τῇ περὶ τὴν πόλιν διοικήσει. καὶ τίς δήμων

αὐτοῖς ὀξύτερος ἢ πρᾳότερος; ἢ τίνες δημαγωγοὶ μᾶλλον ἄξιοι

θαυμάσαι. ἀλλ' ἐν τῇ περὶ λόγων ἀσκήσει καὶ τῆς λοιπῆς σοφίας;

ἀλλ' ἔτι καὶ νῦν ἐνταῦθα πάντες συνέρχονται, καὶ τὰ γένη τῶν φι-

λοσόφων. ὅτε ἔνι καὶ τῇ τῆς πόλεως ἀγαθῇ τύχῃ. χωρεῖ τοῦ, καὶ

τοὺς ὁπουδήποτε ἀναγκαίως ἔχειν ἅμα τῶν τε λόγων καὶ τῶν ἀθη-

ναίων μεμνῆσθαι. καὶ μηδέποτε ἐκβαλεῖν ἐκ τῆς ψυχῆς τὸ ἴδιον χρόνον·

τῶν περὶ ἐκεῖνα τὸ πρῶτον τοῖς λόγοις ἐμβλέποντας. καὶ γὰρ τοῦτο

πᾶσι μὲν ἀνθρώποις οὕτως αἰδέσιμον. τοὔνομα καὶ τὸ ἔδαφος τῆς πόλεως,

ὥστε οὐδεὶς ἄλλος ἐν καὶ τὸ ἀδελφόν. καὶ οὔτε ἰδιῶται οὔτε βασιλεῖς, μὴ κρατ-

ήσαντες μισοῦσιν. ἀλλ' οὕτως, ὥστε αὐτοὺς ἀγαπᾶσθαι ταῖς ὑπερβολαῖς τῶν

τιμῶν αἷς ἐτιμήθησαν. φανερὰ δὲ καὶ τὰ παρ' αὐτῶν τῶν θεῶν σημεῖα

καὶ ξίφος, καὶ διὰ τοῦ κοινοῦ μαντείου καὶ ἐξηγητοῦ, τοῦ πρώτ-

ῃ τῇ πόλει θύειν τε ὑπὸ τῶν Ἑλλήνων τὴν Προηροσίαν κηρύττοντος, καὶ

μητρόπολιν τῶν καρπῶν αὐτὴν προσονομάζοντος. ἐπὶ δὲ τούς,

στεφανηφορεῖν ἀξιοῦντων, ὡς διὰ Πύθια νικῶσαν. ἄγοντες

ἐν Δελφοῖς αὐτὴν ὅθεν καλοῦ. περὶ τὰ ἀπολίσματα·

μόνην δ' ὡς ἔοικε ταύτην πόλεων, δι' ὃ τἀναντία συμβέβηκεν·
πλεῖστα γὰρ καὶ κάλλιστα αὐτοῖς εἴρηται περὶ ταύτης. Καὶ
οὐκ ἔστιν εἴ τις μεῖζον αὐτῶν ἐπιτεύξεται· περὶ μὲν γὰρ τῶν
ἄλλων τὸ θαυμάσαι ἄξιον δοκεῖ τισὶν οὐδὲν ἔχουσιν·
περὶ τῆς δ' ἐν μέσῳ οὖν ἠγάπησαν, ἀκούοντες δὲ τῆς σοφίας πρυ-
τανεῖον· ἢ τὴν τῆς Ἑλλάδος ἑστίαν· ἢ τὸ στόμα· ἢ ὅσα
τοιαῦτα λέγεις τὴν πόλιν ἢ δ' αὐτό. νῦν δέ μοι δοκοῦσι πάντα ταῦτα
ἐσφαλῆναι· ἀλλ' εἴ τινα χρὴ πόλιν θεῶν ὑπαρχόντων συγγενῆ
προσειπεῖν, ἢ τῆς φύσεως τῆς αὐτῆς ἐκεῖνα καὶ ὅρον,
εἰ δ' αὖ μοι δοκεῖ δικαίως κληθῆναι. ἐν θεῶν τῶν ἀνδρῶν
μεγίστων, οὔτε φθόνον ἐκεῖ ἔχειν τῇ πόλει, οὐδ' ὑποχωροῦντας
αἰσχύνεσθαι· ἀλλὰ συναύξειν ἐν τῶν ἐνόντων καὶ φιλοτι-
μεῖσθαι. τῶν γὰρ Ἀθηναίων νικώντων, παρ' ὑμῖν
ἐστὶ τὸ νικᾶν. πάντας μὲν γὰρ ἁπάντων εἶναι ἀρίστους,
ἀδύνατον. ὥσπερ δὲ ὅταν στρατηγὸς προσχῇ, μετέχει
τῆς δόξης ἡ πόλις, οὕτω τῆς ἡγεμόνος πόλεως τὰ
ἐκεῖ τα εὐδαιμονούσης, ἅπασι μέτεστι τῆς φιλοτιμίας.
οἶμαι δὲ οὐδ' αὐτοῖς Ἀθηναίοις φανῆναι αἰσχύνην, ἄν τις
αὐτοῖς προσβάλῃ τὴν ἀκρόπολιν. χρὴ τοίνυν καὶ
ὑμᾶς, ὥσπερ ἀκρόπολίν τινα ἢ περιφανῆ νομίσαν-
τας τῆς μεγαλοδοξίας τῶν ὁμοφύλων τὴν πόλιν, καὶ
λόγῳ καὶ ἔργῳ κοσμεῖν· μετέχειν τῆς δόξης.

ἀλλ' οὖν κ(αὶ) ἀποστερεῖσθαι νομίζονται.
εἴργασται καὶ ἡμῖν
ὁ λόγος ἀντὶ
χρυσοῦ πέπλου,
κόσμος
Πανα-
θη-
ναίων τῇ θεῷ εἴας. ἧς
δοῦναι δὲ χάριν, τῇ αὐτῇ
θεῷ,
ἧσπερ καὶ ὁ
λόγος, καὶ ἡ
πό-
λις:~

†

deo
gratias.

† ὁ Παναθηναϊκὸς εἴληφεν ὧδε τὸ τέρμα: †

† † †

† αἰσχίνου ῥήτορος περὶ τῆς παραπρεσβείας λό-
γος κατὰ τιμάρχου:-

Δέομαι ὑμῶν ὦ ἀθηναῖοι ἐθελῆσαι μετ' εὐνοίας ἀκοῦσαί μου λέγοντος
ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου, καὶ τὸ πλῆθος τῶν
αἰτιῶν· πρὸς ἃς ἀπολογήσασθαί με δεῖ· καὶ τὰς τέχνας καὶ τὰς κατα-
σκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα· ὃς ἐτόλμησε παρακελεύ-
σασθαι πρὸς ἄνδρας ὀμωμοκότας, τῶν ἀντιδίκων ὁμοίως ἀμφο-
τέρων ἀκούσεσθαι καὶ τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ὑπομένειν·
καὶ ταῦτ' εἶπεν οὐ δι' ὀργήν· οὐδεὶς γὰρ τῶν ψευδομένων τοῖς ἀδίκως διαβαλ-
λομένοις ὀργίζεται· οὐδ' οἱ τἀληθῆ λέγοντες, κωλύουσι λόγου τυχεῖν
τὸν φεύγοντα· οὐ γὰρ πρότερον κατηγορία παρὰ τοῖς ἀκούουσιν
ἰσχύει, πρὶν ἂν ὁ φεύγων ἀπολογίας τυχὼν ἀδυνατήσῃ τὰς προειρη-
μένας αἰτίας ἀπολύσασθαι· ἀλλ' οἶμαι δημοσθένης οὐ χαίρει δι-
καίοις λόγοις· οὐδὲ τοῦτο παρεσκεύασται· ἀλλὰ τὴν ὑμετέραν ὀργὴν
ἐκκαλέσασθαι βεβούληται· καὶ κατηγόρηκε δωροδοκίας, ἀπίθανος
ὢν πρὸς τὴν ὑποψίαν ταύτην· τὸν γὰρ ἐπὶ ταῖς δωροδοκίαις προτρε-
πόμενον τοὺς δικαστὰς ὀργίζεσθαι, αὐτὸν χρὴ πόρρω τῶν τοιούτων ἔργων
ἀφεστάναι· ἐμοὶ δὲ ὦ ἄνδρες ἀθηναῖοι συμβέβηκε τῆς δημο-
σθένους ἀκούοντι κατηγορίας, μήτε δεῖσαι πώποτε μᾶλλον ἢ ἐν
τῇ δε τῇ ἡμέρᾳ, μήτε ἀγανακτῆσαι μᾶλλον ἢ νῦν· μήτε εἰς
ὑπερβολὴν ὁμοίως ἡσθῆναι· ἐφοβήθην μὲν γὰρ καὶ ἔτι καὶ νῦν
τεθορύβημαι μή τινες ὑμῶν ἀγνοήσωσί με, ψυχαγωγηθέντες
τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις· ἐξέστην

δεῖ μέντοι καὶ τὴν αἰτίαν βαρεῖαν εἶναι τινα· ὅθεν ὕβριν καὶ παροινίας
γυναῖκα ἐλευθέραν καὶ τὸ γένος ὀλισθεῖαν κατηγορεῖ μου· εἰ ἀληθῶ
δὲ ὅ τοῦτον ἐπὶ τῆς αἰτίας οὕτως αὐτῆς ἐξεβάλλετε· καὶ τῶν σεσω
φρονημένων ἐν τῷ βίῳ μοι, χάριν ἀπειληφέναι νομίζω· ὑμᾶς
μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅτι τῷ βίῳ μᾶλλον τῶν
κρινομένων πιστεύετε, ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς
δὲ, οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτα ἀπολογίας· εἰ γάρ τις τῶν
ἔξωθεν περιεστηκότων πεπείσται, σχεδὸν δὲ καὶ τοι τῶν πολι
τῶν παρεισιν· ἢ τῶν δικαζόντων ὑμῶν ὡς ἐγώ τι τοιοῦτον
διαπέπραγμαι, μὴ μόνον ἐκ ἐλαφρὸν σῶμα, ἀλλὰ καὶ αἰσχρόν
τε καὶ ἀβίωτον εἶναί μοι τὸν λοιπὸν βίον νομίζω· κἂν μὴ τῇ προϊ
ούσῃ τῆς ἀπολογίας ἐλέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ· καὶ
τὸν τολμήσαντα εἰπεῖν, ἀνόσιον καὶ συκοφάντην· κἂν τἆλλα καὶ
μηδὲν ἀδικῶν φαίνωμαι, θανάτου τιμῶμαι· παράδοξος δέ μοι
καὶ ἄλλη τινὸς ὁ λόγος ἐφάνη καὶ δεινῶς ἄδικος, ὅθεν ὑμᾶς ἐπερωτᾷ
εἰ οἷόν τέ ἐστιν ἐν αὐτῇ τῇ πόλει φιλοπράτους μὲν θάνατον κατα
ψηφίσασθαι ὅτι καταγνοὺς ἀδικεῖν ἑαυτοῦ τὴν κρίσιν οὐχ
ὑπέμεινεν· ἐμοῦ δὲ ἀπογνῶναι· ἐγὼ δὲ πάντων τούτων δικαίως
ἂν ὑπολαμβάνω μάλιστα σώζεσθαι· εἰ γὰρ ὁ καταγνοὺς ἑαυτοῦ
καὶ μὴ παρών, ἀδικεῖ· ὁ δὲ ἀπογνοὺς καὶ τὸ σῶμα τοῖς νόμοις
καὶ τοῖς πολίταις παραδούς, οὐκ ἀδικεῖ· περὶ δὲ τῆς ἄλλης
κατηγορίας δέομαι ὑμῶν ὦ ἄνδρες, ἐάν τι παραλίπω καὶ
μὴ μνησθῶ, ἐπερωτᾶν με καὶ δηλοῦν ὃ ἂν ποθῆτε μονάπου.

μηδὲν προκατεγνωκότας ἀκοῦσαι δικαίως· ἀλλ' ἴσως τι δεινὸν ἀπονοοῦντας·
ἀπορῶ δὲ ὁπόθεν χρὴ πρῶτον ἄρξασθαι διὰ τὴν ἀταξίαν τῆς κα-
τηγορίας· σκέψασθε δ' εἰ ὑμῖν εἰκότως τὸ πρᾶγμα δόξω πάσχειν· εἰμὶ
μὲν γὰρ ὁ κινδυνεύων ἐγὼ νυνὶ περὶ τοῦ σώματος· τῆς δὲ κατηγορίας
τὴν πλείστην πεποίηται Φιλοκράτης καὶ Φρύνωνος· καὶ τῶν ἄλλων
συμπρέσβεων καὶ Φιλίππου· καὶ τῆς εἰρήνης καὶ τῶν Εὐβούλου πολι-
τευμάτων· ἐν ἅπασι δὲ τούτοις ἐμὲ τάττει· μόνος δ' ἐν τῷ λόγῳ φαί-
νεται κηδεμὼν τῆς πόλεως Δημοσθένης· οἱ δ' ἄλλοι προδόται· διατε-
τελεῖ γὰρ εἰς ὑμᾶς ὑβρίζων· καὶ λοιδορίας λέγων, οὐκ ἐμοὶ μόνον λοι-
δορούμενος ἀλλὰ καὶ τοῖς ἐμοῖς· οὕτω δ' ὑπερβάλλει ἀτιμάζων πάλιν ἐγκαταβο-
λὼν ὅπου τύχοι ὡς περὶ Ἀλκιβιάδην ἢ Θεμιστοκλέα κρίνων, οἳ πλεῖστον
τῶν Ἑλλήνων δόξῃ διήνεγκαν· ἀνῃρηκέναι μὲν αἰτιᾶται με τὰς ἐν
Φωκεῦσι πόλεις· ἀπολωλεκέναι δ' ἐφ' ὑμῶν τὸν ἐπὶ Θρᾴκης τόπον·
ἐκβεβληκέναι δὲ καὶ τῆς ἀρχῆς Κερσοβλέπτην ὄντα φίλον καὶ σύμ-
μαχον τῆς πόλεως· ἐνεχείρησε δ' ἀπεικάζειν με Διονυσίῳ τῷ Σικελίας
τυράννῳ· καὶ μετὰ σπουδῆς καὶ κραυγῆς πολλῆς διεκελεύσατο ὑμῖν
τὸ θηρίον φυλάττειν· καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν Σικελίᾳ διη-
γήσατο· οὕτω δ' ἀνωτέρω τὸ πρᾶγμα ἐξάρας, ἐφθόνησέ μου ταῖς διαβο-
λαῖς· τὰς αἰτίας ἀνατιθεὶς τῶν πεπραγμένων· οὐ τοῖς ἐμοῖς λόγοις
ἀλλὰ τοῖς ὅπλοις τοῖς τοῦ Φιλίππου· πρὸς δὲ τοσαύτην τόλμαν καὶ
τερατείαν ἀνθρώπου χαλεπὸν καὶ τὰ λεχθέντα διαμνημονεῦσαι καθ' ἕ-
καστα· καὶ λέγειν μετὰ κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς· ἡ-
γοῦμαι σαφεστάτους μοι τοὺς λόγους ἔσεσθαι καὶ γνωρίμους ὑμῖν

καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι ἀπὸ τῶν περὶ τῆς εἰρήνης λόγων· καὶ τῆς αἱρέσεως τῆς πρεσβείας· οὕτω γὰρ μάλιστα μεμνήσομαι καὶ εἰπεῖν δυνήσομαι, καὶ ὑμεῖς μαθήσεσθε· ἅπαντες γὰρ οἶμαι καὶ ὑμᾶς τοῦτό γε αὐτὸ μνημονεύειν· ὅθ᾽ οἱ πρέσβεις οἱ περὶ τῶν Εὐβοέων· ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ διελέχθησαν, εἶπον ὅτι καὶ Φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι, ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς καὶ τὴν εἰρήνην ἄγειν· οὐ πολλῷ δ᾽ ὕστερον χρόνῳ Φρύνων ὁ Ῥαμνούσιος ἑάλω ὑπὸ λῃστῶν ἐν ταῖς σπονδαῖς ταῖς ὀλυμπιακαῖς ὡς αὐτὸς ᾐτιᾶτο· ἐπειδὴ δ᾽ ἐπανῆλθε δεῦρο πάλιν λυτρωθείς, ἐδεῖτο ὑμῶν πρεσβευτὴν αὐτῷ πρὸς Φίλιππον ἑλέσθαι· ἵν᾽ εἴ πως δύναιτο ἀπολάβοι τὰ λύτρα· πεισθέντες δ᾽ ὑμεῖς εἵλεσθε αὐτῷ Κτησιφῶντα πρεσβευτήν· ἐπειδὴ δ᾽ ἐπανῆκε δεῦρ᾽ ἀπὸ τῆς πρεσβείας ὁ Κτησιφῶν, ἀπήγγειλε πρὸς ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη· καὶ πρὸς τούτοις ὅτι φαίη Φίλιππος, ἄκων μὲν πολεμῆσαι πρὸς ὑμᾶς· βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου· εἰπόντος δὲ ταῦτα τοῦ Κτησιφῶντος, καὶ πολλήν τινα ἐξαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν· καὶ τοῦ δήμου σφόδρα ἀποδεξαμένου, καὶ τὸν Κτησιφῶντα ἐπαινέσαντος, ἀντιλέγοντος δ᾽ οὐδενός· ἐνταῦθ᾽ ἤδη διδῶσι ψήφισμα Φιλοκράτης ὁ Ἁγνούσιος· καὶ ὁ δῆμος ἅπας ὁμογνωμονῶν ἐχειροτόνησεν ἐξεῖναι δεῦρο Φιλίππῳ κήρυκας καὶ πρέσβεις πέμπειν ὑπὲρ εἰρήνης· πρότερον μὲν γὰρ καὶ αὐτὸ τοῦτο ἐκωλύετο ὑπό τινων οἷς ἦν τοῦτ᾽ ἐπιμελὲς ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξε· γράφονται δ᾽ οὗτοι παράνομον τὸ ψήφισμα, Λυκῖνον ἐπὶ τὴν γραφὴν ἐπιγραψάμενοι· καὶ τίμημα ἐπέθηκαν ἑκατὸν τάλαντα·

καὶ μετὰ ταῦτα εἰσῄει ἡ γραφὴ εἰς τὸ δικαστήριον· ἀρρώστως δ' ἔχων ὁ Φιλο-
κράτης, ἐκάλεσεν αὐτῷ συνήγορον Δημοσθένην· ἀλλ' οὐκ Αἰσχίνην· παρελ-
θὼν δ' ὁ μισοφίλιππος Δημοσθένης, κατέτριψε τὴν ἡμέραν ὅλην
ἀπολογούμενος· καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ Φιλοκράτης· ὁ δὲ
γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει· καὶ
ταῦθ' ὑμεῖς ἅπαντες ἴστε· ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, Ὄλυνθος ἑάλω· καὶ
πολλοὶ τῶν ὑμετέρων ἐγκατελήφθησαν πολιτῶν· ὧν ἦν Ἰατροκλῆς
ὁ Ἐργοχάρους ἀδελφός· καὶ Εὐήρατος ὁ Στρομβίχου υἱός· ὑπὲρ δὲ τούτων ἱκε-
τηρίας θέντες ἐν τῷ δήμῳ οἱ οἰκεῖοι, ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσα-
σθαι· παρελθόντες δ' αὐτοῖς συνηγόρουν Δημοσθένης καὶ Φιλοκράτης· ἀλλ'
οὐκ Αἰσχίνης· καὶ πέμπουσι πρεσβευτὴν, Ἀριστόδημον ὑποκριτὴν πρὸς
Φίλιππον διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης· ὡς δ' ἐπανῆκεν ἀπὸ
τῆς πρεσβείας ὁ Ἀριστόδημος διά τινας ἀσχολίας, οὐ προσῄει πρὸς τὴν βουλήν·
ἀλλ' ἔφθασεν αὐτὸν Ἰατροκλῆς ἐλθὼν ἐκ Μακεδονίας ἀφεθεὶς ὑπὸ Φιλίπ-
που ἀναλύτρων, γενόμενος αἰχμάλωτος· ἐνταῦθα ἠγανάκτουν πολλοὶ
ὅτι τὴν πρεσβείαν οὐκ ἀπήγγειλεν ὁ Ἀριστόδημος· τοὺς αὐτοὺς λόγους ἀκού-
οντες τοῦ Ἰατροκλέους περὶ Φιλίππου· τελευταῖον δ' εἰς τὴν βουλὴν εἰσελθὼν
ὁ Φιλοκράτης ὁ Φιδναῖος, ἔπεισε τὴν βουλὴν ἀνακαλέσασθαι τὸν Ἀρι-
στόδημον· εἷς δὲ τῶν βουλευτῶν ἦν Δημοσθένης ὁ ἐμὸς κατήγορος· παρελ-
θὼν δ' Ἀριστόδημος, πολλήν τινα εὔνοιαν ἀπήγγειλε τοῦ Φιλίππου πρὸς
τὴν πόλιν· καὶ προσέθηκεν ὅτι καὶ σύμμαχος βούλοιτο τῇ πόλει γενέ-
σθαι· καὶ ταῦτ' οὐκ ἐν τῇ βουλῇ μόνον εἶπεν, ἀλλὰ καὶ ἐν τῷ δήμῳ· κἀν-
ταῦθ' οὐδὲν ἀντεῖπε Δημοσθένης· ἀλλὰ καὶ στεφανῶσαι τὸν Ἀριστόδημον

ἔγραψε· ῥηθέντων δὲ τούτων ἐν τῷ δήμῳ ψήφισμα ἔγραψεν ὁ φιλοκράτης
ἑλέσθαι πρέσβεις ὑμᾶς πρὸς φίλιππον ἄνδρας δέκα· οἵτινες διαλέξονται
φιλίππῳ περὶ τῆς εἰρήνης· καὶ τῶν κοινῇ συμφερόντων ἀθηναίοις
καὶ φιλίππῳ· χειροτονουμένων δὲ τῶν δέκα πρέσβεων, ἐγὼ μὲν προυβλή-
θην ὑπὸ ναυσικλέους· δημοσθένης δὲ ὑπ' αὐτοῦ φιλοκράτους· ὁ νυνὶ
φιλοκράτους κατηγορῶν· οὕτω δ' ἦν πρόθυμος εἰς τὰ πράγματα, ὥστε ἐν τῇ
βουλῇ γράφειν ἵνα ἀζήμιος ὢν ἡμῖν ὁ ἀριστόδημος συμπρεσβεύῃ ἑ-
λέσθαι πρέσβεις ἐπὶ τὰς πόλεις· ἐν αἷς ἔδει τὸν ἀριστόδημον ἀγωνίζεσθαι·
οἵτινες ὑπὲρ αὐτοῦ παραιτήσονται τὰς ζημίας· καὶ ὅτι ταῦτα ἀληθῆ λέγω,
λαβέ μοι τὰ ψηφίσματα· καὶ τὴν ἐκμαρτυρίαν ἀνάγνωθι τοῦ ἀριστοδήμου·
καὶ κάλει πρὸς ὃν ἐξεμαρτύρησεν· ἵν' εἰδῶσιν οἱ δικασταί, τίς ἦν ὁ τοῦ φι-
λοκράτους ἑταῖρος, καὶ τίς ὁ τὰς δωρεὰς ἀριστοδήμῳ φάσκων πείσειν
δοῦναι τὸν δῆμον· ψηφίσματα· ἐκμαρτυρίαι· ἡ μὲν τοίνυν
ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων ἐγένετο οὐ δι' ἐμοῦ ἀλλὰ
διὰ δημοσθένους καὶ φιλοκράτους· ἐν δὲ τῇ πρεσβείᾳ συσσιτεῖν
ἡμᾶς ἐσπούδασεν· οὐχ ἅπαντας πείσας ἀλλὰ τοὺς μετ' ἐμοῦ· ἀγλαοκρέ-
οντα τὸν τενέδιον ὃν ἐκ τῶν συμμάχων εἵλεσθε· καὶ ἰατροκλέα·
ἐν δὲ τῇ πορείᾳ παρακελεύσασθαί με φησὶν αὐτῷ· ὅπως τὸ θηρίον κοι-
νῇ φυλάξομεν τὸν φιλοκράτην πράγματα λέγων πεπλασμένον· πῶς
γὰρ ἂν ἐγὼ δημοσθένην ἐπὶ φιλοκράτην παρεκάλουν· ὃν ᾔδειν
συνειπόντα μὲν φιλοκράτει πρὸ τοῦ ἐν τῇ τῶν παρανόμων γραφῇ· προβλη-
θέντα δὲ εἰς τὴν πρεσβείαν ὑπὸ φιλοκράτους· πρὸς δὲ τούτοις οὐκ ἐν ἀρχαί-
οις τοῖς ἡμετέροις λόγοις οἱ συμπρέσβεις· ἀλλ' ὅλην τὴν πορείαν ἠναγκά-

ζόμενοι ἀθηναῖοι ἐκεῖνον ὑπομένειν ἀφόρητον ὄντα καὶ βαρὺν ὄντ·
ὃς διασκοπούντων ἡμῶν ὅτι χρὴ λέγειν ἡμᾶς τῶν συμπρέσβεων·
καὶ κίμωνος εἰπόντος ὅτι φοβοῖτο μὴ δικαιολογούμενος περιγένοι-
το ἡμῶν ὁ φίλιππος· πηγὰς δὴ λόγων ἀφθόνους ἕξειν ἐπηγγέλ-
λετο· καὶ περὶ τῶν δικαίων τῶν ὑπὲρ ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ
πολέμου τοιαῦτα ἐρεῖν ἔφη, ὥστε ἀπορράψειν τὸ τοῦ φιλίππου στό-
μα· ὁλοσχοίνῳ ἀβρόχῳ· καὶ πείσειν ἀθηναίους μὲν καταδέξασθαι λε-
ωσθένην· φίλιππον δὲ ἀθηναίοις ἀμφίπολιν ἀποδοῦναι· ἵνα δὲ μὴ
μακρολογῶ τὴν τούτου διεξιὼν ὑπερηφανίαν ὡς τάχιστα ἥκομεν εἰς
μακεδονίαν, συνετάξαμεν ἡμᾶς αὐτοὺς ὅταν προσίωμεν φιλίππῳ τοὺς
πρεσβυτάτους πρώτους λέγειν· καὶ τοὺς λοιποὺς καθ' ἡλικίαν· ἐτύγχανε
δ' ἡμῶν νεώτατος ὢν ὡς ἔφη δημοσθένης· ἐπειδὴ δ' εἰσεκλήθημεν,
καὶ τούτοις ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν· ἐντεῦθεν γὰρ κατό-
ψεσθε ἀνθρώπου φθόνον ὑπερβάλλοντα καὶ δεινὴν δειλίαν· ἅμα δὲ καὶ κα-
κοήθειαν· καὶ τοιαύτας ἐπιβουλὰς κατ' ἀνδρῶν συσσίτων καὶ συμ-
πρέσβεων· ἃς οὐδ' ἂν κατὰ τῶν ἐχθίστων τις εἰκῇ ποιήσαιτο· τοὺς γὰρ
τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου φησὶ ποιήσασθαι·
οὐκ ὢν ἐπιχώριος· εἰρήσεται γὰρ οὐδ' ἐγγενής· ἡμεῖς δ' οἷς ἱερὰ καὶ
τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι· καὶ διατριβαὶ καὶ συνήθειαι
μεθ' ὑμῶν ἐλεύθεροι· καὶ γάμοι κατὰ τοὺς νόμους· καὶ κηδεσταὶ· καὶ τέ-
κνα, ἀθήνησι μὲν ἦμεν ἄξιοι τῆς ὑμετέρας πίστεως· οὐ γὰρ ἄν ποτε
ἡμᾶς εἵλεσθε· ἐλθόντες δ' εἰς μακεδονίαν, ἐξαίφνης ἐγενόμεθα
προδόται· ὁ δὲ, οὐδὲν ἔχων ἄπρατον μέρος τοῦ σώματος, οὐδ' ὅ-

τῶν φόρων προῖκα τοσούτων ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς ἕλλη-
σιν ὁ δίκαιος ἐπικαλούμενος δὲ χαίρειν καὶ κατέπτυεν εἰς δωροδοκί-
αν ἀπονοσατεδὴ τούς τε ἡμετέρους λόγους οὓς εἴπομεν ὑπὲρ ὑμῶν·
καὶ πάλιν οὐ τὸν μέγα φίλος τῆς πόλεως εἰρήνης ἐπιθυμοῦσα γῆς· ἵν᾽ ἐφε-
ξῆς καὶ κατὰ μικρὸν πρὸς ἅπαντα τῶν κατηγορημένων ἀπολογή-
σωμαι· ἐπαινῶ δ᾽ ἐὰν εἰς ὑπερβολὴν ὑμᾶς ὦ ἄνδρες δικασταὶ ὅτι σιγῇ
καὶ δικαίως ἡμῶν ἀκούετε· ὥστε ἐὰν τι μὴ λύσω τῶν κατηγορημέ-
νων, οὐχ ὑμᾶς ἀλλ᾽ ἐμαυτὸν αἰτιάσομαι· ἐπεὶ γὰρ οἱ πρεσβύτεροι
ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν, καὶ καθῆκεν εἰς
ὑμᾶς ὁ λόγος, τὰ μὲν καθ᾽ ἕκαστα τῶν ἐν καιρῷ ῥηθέντων ὑπ᾽ ἐμοῦ, καὶ τοὺς
πρὸς ταῦτα ῥηθέντας ὑπὸ φιλίππου λόγους, ἐν τῷ δήμῳ σαφῶς ἀπήγ-
γειλα πρὸς ἅπαντας ἀθηναίους· νυνὶ δὲ πειράσομαι διὰ κεφαλαί-
ων ὑμᾶς ὑπομιμνήσκειν· πρῶτον μὲν γὰρ πρὸς αὐτὸν διεξῆλθον τὴν
πατρικὴν εὔνοιαν καὶ τὰς εὐεργεσίας, ἃς ὑμεῖς ὑπήρξατε ἀμύντᾳ τῷ
φιλίππου πατρί· οὐδὲν παραλείπων, ἀλλ᾽ ἐφεξῆς, ἅπαντα ὑπομι-
μνήσκων· δεύτερον δὲ ὧν αὐτὸς ἦν μάρτυς αὐτὸς παθών· ἀμύντου
γὰρ νεωστὶ τετελευτηκότος καὶ ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν
ἀδελφῶν· περδίκκου δὲ καὶ φιλίππου παίδων ὄντων· εὐρυδίκης δὲ τῆς
μητρὸς αὐτῶν προδεδομένης ὑπὸ τῶν δοκούντων αὐτῇ εἶναι φίλων· παυ-
σανίου δὲ ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος· φυγάδος μὲν ὄντος· τῷ και-
ρῷ δ᾽ ἰσχύοντος· πολλῶν δὲ αὐτῷ συμπραττόντων· ἔχοντος δὲ ἑλλη-
νικὴν δύναμιν· εἰληφότος δὲ ἀνθεμοῦντα καὶ θέρμην, καὶ στρέ-
ψαν· καὶ ἄλλα ἄττα χωρία· μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν

πλείστων τὰ Παυσανίου φρονούντων· ἐπὶ τῶν καιρῶν τούτων ἐχειροτονήσατε
οἱ Ἀθηναῖοι στρατηγὸν ἐπ' Ἀμφίπολιν Ἰφικράτην· Ἀμφιπολιτῶν αὐτῶν
ἐχόντων τότε τὴν πόλιν· καὶ τὴν χώραν καρπουμένων· ἀφικομένου
μὲν οὖν δὴ Ἰφικράτους εἰς τοὺς τόπους μετ' ὀλίγων τὸ πρῶτον νεῶν ἐπὶ κατα-
σκοπῇ μᾶλλον τῶν πραγμάτων, ἢ πολιορκίᾳ τῆς πόλεως, ἐνταῦθ' ἔφην
ἐγὼ μετεπέμψατο αὐτὸν Εὐρυδίκη ἡ μήτηρ ἡ σή· καὶ ὥς γε δὴ λέγουσιν
οἱ παρόντες, Περδίκκαν μὲν τὸν ἀδελφὸν τουτονὶ καταστήσασα εἰς χεῖ-
ρας τὰς Ἰφικράτους· σὲ δὲ εἰς τὰ γόνατα ἐπαινοῦσα θεῖσα παιδίον ὄντα, εἶ-
πεν ὅτι Ἀμύντας ὁ πατὴρ τῶν παιδίων τούτων ὅτ' ἔζη, υἱὸν ἐποιήσα-
τό σε· τῇ δὲ Ἀθηναίων πόλει οἰκείως ἐχρήσατο· ὥστε συμβαίνει σοι κ
ἰδίᾳ τῶν παιδίων τούτων γεγενῆσθαι ἀδελφῷ· καὶ δημοσίᾳ φίλον ἡμῖν
εἶναι· καὶ μετὰ ταῦτα ἤδη δέησιν ἰσχυρὰν ἐποιεῖτο· καὶ ὑπὲρ ὑμῶν καὶ
ὑπὲρ αὐτῆς καὶ ὑπὲρ τῆς ἀρχῆς· καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας· ἀκούσας δὲ
ταῦτα Ἰφικράτης, ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας· καὶ τὴν Μακε-
δονίαν ὑμῖν ἔσωσε· καὶ μετὰ ταῦτα ἔπειτα περὶ Πτολεμαίου· ὃς ἦν ἐπί-
τροπος καθεστηκὼς τῶν πραγμάτων, ὡς ἀχάριστον καὶ δεινὸν ἔργον
διεπράξατο διδάσκων· ὅτι πρῶτον μὲν ὑπὲρ Ἀμφιπόλεως ἀντέ-
πραττε τῇ πόλει· καὶ πρὸς Θηβαίους διαφερομένων Ἀθηναίων, συμ-
μαχίαν ἐποιήσατο· καὶ πάλιν ὡς Περδίκκας εἰς τὴν ἀρχὴν καταστάς, ὑπὲρ
Ἀμφιπόλεως ἐπολέμησε τῇ πόλει· καὶ τὴν ὑμετέραν ἠδικημένοι
ὅλως φιλανθρωπίαν διεξῄειν, λέγων ὅτι κρατοῦντες τῷ πολέμῳ Περ-
δίκκαν Καλλισθένους ἡγουμένου ἀνοχὰς ἐποιήσασθε πρὸς
αὐτὸν ἀεί τινος προσδοκῶντες τῶν δικαίων τεύξεσθαι· καὶ τὴν διά

βολὴν ταύτην ἐπαιρόμενον διαλύειν· διδάσκων ὅτι καλλισθένην ὁ δῆμος ἀπέκτεινεν· οὐ διὰ τὰς πρὸς περδίκκαν ἀνοχάς, ἀλλὰ δι᾽ ἑτέρας ἁμαρτίας· καὶ πάλιν οὐκ ὤκνουν κατ᾽ αὐτοῦ λέγειν φιλίππου ἐπιτιμῶν· ὅτι τὴν ἔχθραν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου· καὶ πάντων ὧν ἀεὶ ποιούμην μάρτυρας τὰς ἐπαινῶν ἐπιστολὰς παρειχόμην· καὶ τὰ ψηφίσματα τοῦ δήμου· καὶ τὰς καλλισθένους ἀνοχάς· περὶ μὲν οὖν τῆς ἐξ ἀρχῆς κτήσεως τῆς χώρας ἀμφιπόλεως καὶ τῶν καλουμένων ἐννέα ὁδῶν, καὶ περὶ τῶν θησέως παίδων ὧν ἀκάμας φερνὴν λέγεται ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν ταύτην· τότε μὲν ἥρμοττε λέγειν· καὶ ἐρρήθη ὡς ἐνῆν ἀκριβέστατα· νυνὶ δὲ ἴσως ἀνάγκη συντέμνειν τοὺς λόγους· ἃ δ᾽ ἦν τῶν σημείων οὐκ ἐν τοῖς ἀρχαίοις μύθοις ἀλλ᾽ ἐφ᾽ ἡμῶν γεγενημένων, τούτων ἐπεμνήσθην· συμμαχίας γὰρ λακεδαιμονίων καὶ τῶν ἄλλων ἑλλήνων συνελθούσης· εἷς ὢν τούτων ἀμύντας ὁ πατὴρ φιλίππου· καὶ πέμπων σύνεδρον· καὶ τῆς κατ᾽ αὐτοῦ ψήφου κύριος ὤν, ἐψηφίσατο ἀμφίπολιν τὴν ἀθηναίων συνεξαιρεῖν μετὰ τῶν ἄλλων ἑλλήνων ἀθηναίοις· καὶ τοῦτο τὸ κοινὸν δόγμα τῶν ἑλλήνων· καὶ τοὺς ψηφισαμένους ἐκ τῶν δημοσίων γραμμάτων μάρτυρας παρειχόμην· ὧν δὲ ἀμύντας ἀπέστη ὁ τοῦ φιλίππου πατὴρ ἐναντίον τῶν ἑλλήνων ἁπάντων· οὐ μόνον λόγοις ἀλλὰ καὶ ψήφῳ· τούτων ἀφίεμαι ἐγὼ σε τὸν ἐξ ἐκείνου γεγενημένον οὐκ ἔστι δίκαιον ἀντιποιεῖσθαι· εἰ δὲ αὐτὸ ποιῇ κατὰ πόλεμον λαβὼν εἰκότως ἔχειν· εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας τὴν πόλιν δορυάλωτον εἷλες, κυρίως ἔχεις τῷ τοῦ πολέμου νόμῳ κτησάμενος· εἰ δὲ ἀμφιπολίτας ἀφαιροῦ τὴν ἀθηναίων πόλιν

οὐ τὰ ἐκείνου ἔχεις· ἀλλὰ τὴν Ἀθηναίων χώραν· ῥηθέντων δὲ
καὶ τούτων καὶ ἑτέρων λόγων, ἤδη προσῆκεν εἰς Δημοσθένην τὸ
τῆς πρεσβείας μέρος· καὶ πάντες προσεῖχον ὡς ὑπερβολάς τινας
δυνάμεως ἀκουσόμενοι λόγων· καὶ γὰρ πρὸς αὐτὸν τὸν Φίλιππον
ὡς ἦν ὕστερον ἀκούειν καὶ πρὸς τοὺς ἑταίρους αὐτοῦ ἐξήγγελτο
ἡ τῶν ἐπαγγελιῶν ὑπερβολή· οὕτω δὲ ἁπάντων διακειμένων πρὸς
τὴν ἀκρόασιν, φθέγγεται τὸ θηρίον τοῦτο προοίμιον σκοτεινόν καὶ τεθνη-
κός· καὶ μικρὸν προαγαγὼν ἄνω τῶν πραγμάτων ἐξαίφνης ἐσίγησε
καὶ διηπορήθη· τελευτῶν δὲ ἐκπίπτει ἐκ τοῦ λόγου· ἰδὼν δὲ αὐτὸν
ὁ Φίλιππος ὡς διέκειτο, θαρρεῖν τε παρεκελεύετο καὶ μὴ νομίζειν
ὥσπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο οἴεσθαί τι πεπονθέναι· ἀλλ' ἡσυ-
χῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι· καὶ λέγειν ὡς προείλετο· ὁ δ'
ὡς ἅπαξ ἐταράχθη καὶ τῶν γεγραμμένων παρεσφάλη· οὐδ'
ἀναλαβεῖν αὑτὸν ἠδυνήθη· ἀλλὰ καὶ πάλιν ἐπιχειρή-
σας λέγειν ταὐτὸν ἔπαθεν· ὡς δὲ ἦν σιωπή, μεταστῆναι ἡμᾶς ὁ
κῆρυξ ἐκέλευσεν· ἐπειδὴ δ' ἐφ' ἡμῶν αὐτῶν οἱ συμπρέσβεις ἐγενό-
μεθα, σφόδρα σκυθρωπάσας ὁ χρηστὸς οὗτος Δημοσθένης
ἀπολωλεκέναι με ἔφη τὴν πόλιν καὶ τοὺς συμμάχους· ἐκπλα-
γέντος δὲ οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ τῶν συμπρέσβεων πάντων·
καὶ τὴν αἰτίαν πυνθανομένων δι' ἣν ταῦτ' εἶπεν, ἤρετό με εἰ τῶν
Ἀθήνησι πραγμάτων ἐπιλέλησμαι· καὶ τὸν δῆμον καταπεπονη-
μένον καὶ σφόδρα ἐπιθυμοῦντα εἰρήνης εἰ μὴ μέμνημαι· ἢ
μέγα φρονεῖς ἔφη ἐπὶ ταῖς ἐψηφισμέναις πεντήκοντα ναυσίν,

οὐδέποτε δὲ πληρωθησομένας· οὕτω γὰρ ἠράσθη Φίλιππος καὶ
τοιαύτης εἰρήνης, ἐξ ὧν οὐκ εἰρήνη γένοιτ' ἂν ἀπὸ πολέμου, ἀλλ' ἐξ εἰ-
ρήνης πόλεμος ἀκήρυκτος· ἀρχομένου δέ μου πρὸς ταῦτα ἀν-
τιλέγειν, ἐκάλουν ἡμᾶς οἱ ὑπηρέται τοῦ βασιλέως. ὡς δὲ εἰσελθό-
μενοι καὶ ἐκαθεζόμεθα, ἐξ ἀρχῆς πρὸς ἕκαστον τῶν εἰρημένων ἐπε-
χείρει ἀντιλέγειν ὁ Φίλιππος· πλεῖστον δὲ εἰκότως ἐποιήσατο διατρι-
βὴν πρὸς τοὺς ἐμοὺς λόγους· ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν
ὥστε οἶμαι παραλέλοιπον· καὶ πολλάκις μοι τοὔνομα ἐν τοῖς λόγοις
ὠνόμαζετο. πρὸς δὲ Δημοσθένην οὕτω καταγελάστως ἀπαλλάξαντα,
οὐδ' ὑπὲρ ἑνός, οἶμαι, διελέχθη· τοῦτο δ' ἦν ἄρα ἀλγηδὼν καὶ λύπη τού-
τῳ. ἐπειδὴ δὲ κατέστρεψεν εἰς φιλανθρωπίαν τοὺς λόγους, καὶ ἀπεγράφη Φίλιπ-
πος καὶ τὸ συκοφάντημα ὃ προειρήκει κατ' ἐμοῦ πρὸς τοὺς συμ-
πρέσβεις οὗτος, ὡς ἐσομένου πολέμου καὶ διαφορᾶς ἐκ τοῦ ἐναν-
τίου διέπιπτεν αὐτῷ· ἐνταῦθα ἤδη καὶ παντελῶς ἐξεστηκὼς αὑτοῦ
καταφανὴς ἦν· ὥστε καὶ κληθέντων ἡμῶν ἐπὶ ξένια, δεινῶς ἀσχημονεῖ·
ἀφορμώντων δὲ ἡμῶν ἐκ τῆς πρεσβείας οἴκαδε, ἐξαίφνης κατὰ τὴν
ὁδὸν παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο· ὅ τι μὲν
οὖν ποτ' ἦν ὁ κέρκωψ ἢ τὸ καλούμενον παιπάλημα ἢ τὸ παλίμ-
βολον ἢ τὰ τοιαῦτα ῥήματα οὐκ ᾔδειν πρότερον· νῦν δὲ ἐξηγητὴν
τοῦτον λαβὼν τῆς ἁπάσης κακοηθείας, μεμάθηκα· διαλαμβάνων
γὰρ ἕκαστον ἡμῶν ἐν μέρει, τῷ μὲν ἐράνους συνοίσειν ἐπηγγέλ-
λετο καὶ βοηθήσειν τοῖς ἰδίοις· τὸν δὲ εἰς στρατηγίαν καταστήσειν· ἐμοὶ
δὲ παρακολουθῶν καὶ τὴν φύσιν μου μακαρίζων, καὶ τοὺς λόγους οὓς

εἴ που ἔσται μὴ ἀλαζών, πολὺς ἦν ἐν τοῖς ἐπαίνοις καὶ ἐπαχθής· σιωπῶ δὲ τὸν
φθόνον δ' ἡμῶν ἁπάντων ἐν Λαρίσῃ, εἰς ἃ αὐτῶν μὲν ὅσα ποτὲ καὶ τῶν
ἀπορρήτων ἐν τῷ λόγῳ συνεμβαλόντων αὐτοῦ· τὸν δὲ Φίλιππον τῶν ὑπὸ
τὸν ἥλιον ἁπάντων ἔφη εἶναι δεινότατον· συναποφηναμένου δὲ κἀμοῦ
τοιοῦτον, ὡς καὶ μνημονικῶς εἴποι πρὸς τὰ παρ' ἡμῶν ῥηθέντα· Κτη-
σιφῶντος δ', ὃς παρ' ἡμῖν πρεσβύτατος, ὑπερβολήν τινα ἐκ τοῦ παλαι-
οτάτου καὶ πλήθους ἐτῶν εἰπόντος καὶ προσθέντος ὡς ἐν τοσούτῳ
χρόνῳ καὶ βίῳ, οὔπωποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον ἑώρα-
κὼς εἴη, κατακροτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας, ταῦτα μέντοι Κτη-
σιφῶν οὔτ' ἂν σὺ πρὸς τὸν δῆμον εἴποις, οὔτ' ἂν οὗτος· ἐμὲ δὴ λέ-
γων τολμήσειεν εἰπεῖν πρὸς Ἀθηναίους, ὡς ὁ Φίλιππος δεινὸς εἰπεῖν
καὶ μνημονικός· ἀναισθήτως δὲ ἡμῶν ἐχόντων, καὶ τὴν ἐπιβου-
λὴν οὐ προορωμένων, ἣν αὐτίκα ἀκούσεσθαι, εἰς συνθήκην τινὰ
ἡμᾶς κατέκλεισεν ὑπὲρ τοῦ ταῦτα ἐρεῖν πρὸς ὑμᾶς· ἐμοῦ δὲ καὶ
δὴ κοινῇ ἰσχυρῶς ἐδεήθη, μὴ παραλιπεῖν ἀλλ' εἰπεῖν ὡς ὑπὲρ Ἀμ-
φιπόλεώς τι καὶ Δημοσθένης εἴποι. μέχρι μὲν τούτων οἱ συμπρέσ-
βεις εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων οὗτος καὶ διαβάλλων
ἐν τῇ κατηγορίᾳ διατετέλεκε· τῶν δὲ ἐπὶ τοῦ βήματος παρ' ὑμῖν
λόγων, ὑμεῖς ἀκηκόατε, ὥστ' οὐχ οἷόν τ' ἔσται μοι ψεύσασθαι. δέομαι
δὲ ὑμῶν προσεπινοῆσαι καὶ τὴν λοιπὴν ἀκούοντας διήγησιν·
ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκούειν,
καὶ τὰς περὶ Φωκέων αἰτίας, σαφῶς οἶδα· καὶ πρὸς ταῦτα σπεύδω·
ἀλλ' ἂν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ' ἐκείνοις ὁμοίως παρακο

λουθήσατε· ἀλλά μοι τῷ κινδυνεύοντι δοῦτε εἰπεῖν ὡς βούλομαι, καὶ σιωπήσατε καὶ μηδὲν ἀδικοῦντα ὅπως ἠσκηθεὶ πάνυ τὰς ἀφορμὰς εἰληφότες καὶ θεάσασθε ἐκ τῶν ὁμολογουμένων καὶ τῶν ἀντιλεγομένων ὡς γράφειν ᾑρήθημεν. καὶ πρὸς τὴν βουλὴν ἐπὶ κεφαλαίων τὴν πρεσβείαν ἀπηγγέλλομεν. καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ φιλίππου, ἐπῄνει τὲ ἡμᾶς ὁ δημοσθένης πρὸς τοὺς αὐτοῦ συμβουλευτὰς· καὶ τὴν ἑστίαν ἐπώμοσε τὴν βουλαίαν. συγχαίρειν τῇ πόλει ὅτι τοιούτους ἄνδρας ἐπὶ τὴν πρεσβείαν ἐξέπεμψεν· οἳ καὶ τοῖς λόγοις καὶ τῇ πίστει, λέγοντες ἦσαν ἄξιοι τῆς πόλεως. ὑπὲρ ἐμοῦ δὲ εἶπέ τι τοιοῦτον ὡς οὐ ψεύσαιμι τὰς τῶν ἑλομένων με ἐπὶ τὴν πρεσβείαν ἐλπίδας· τέλος δὲ πάντων ἔγραψεν ἡμᾶς στεφανῶσαι θαλλοῦ στεφάνῳ ἕκαστον εὐνοίας ἕνεκεν τῆς εἰς τὸν δῆμον· καὶ καλέσαι ἐπὶ τὸ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον· ὅτι δ' οὐδὲν ψεῦδος εἴρηκα πρὸς ὑμᾶς, λαβέ μοι τὸ ψήφισμα ὁ γραμματεύς· καὶ τὰς τῶν συμπρέσβεων μαρτυρίας ἀναγνώτω. ψήφισμα βουλῆς ὃ δημοσθένης εἶπε. μαρτυρία τῶν συμπρέσβεων περὶ τῶν εἰρημένων: Ἐπειδὴ τοίνυν ἀπηγγέλλομεν τὴν πρεσβείαν ἐν τῷ δήμῳ, εἶπε παρελθὼν διὰ τὴν ἡλικίαν πρῶτος ἡμῶν κτησιφῶν ἄλλους τέ τινας λόγους· καὶ τοὺς πρὸς δημοσθένην αὐτῷ συγκειμένους ἡμῖν ἔρρετ· περί τε τῆς ἐντεύξεως τοῦ φιλίππου καὶ τῆς ἰδέας αὐτοῦ καὶ τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος· καὶ μετὰ τοῦτον μικρὰ φιλοκράτους εἰπόντος καὶ δερκύλλου, παρῆλθον ἐγώ, ἐπειδὴ δὲ τὴν ἄλλην διεξῆλθον πρεσβείαν, ἀπήντησα καὶ πρὸς τὸν λόγον ὃν ἐν τοῖς συμπρέσβεσι δημο

λογισάμην· εἶπον ὅτι καὶ δυνατῶς καὶ μνημονικῶς ὁ Φίλιππος εἴποι·
τὴν δὲ κοινὴν οὐκ ἐπελαθόμην τῶν Δημοσθένους ὅτι ταχθείη λέγειν ἐάν
τι παραλείπωμεν ἡμεῖς ὑπὲρ Ἀμφιπόλεως· ἐφ᾽ ἅπασι δ᾽ ἡμῖν ἀνίστα-
ται τελευταῖος Δημοσθένης· καὶ τερατευσάμενος ὥσπερ εἰώθει τῷ
σχήματι, καὶ τρίψας τὴν κεφαλήν, ὁρῶν ἐπισημαινόμενον τὸν δῆμον
καὶ δεδεγμένον τοὺς παρ᾽ ἐμοῦ λόγους· ἀμφοτέρων ἔφη θαυμάζειν καὶ
τῶν ἀκουόντων καὶ τῶν πρεσβευσάντων· ὅτι καὶ παρέντες τὸν χρόνον·
οἱ μὲν τὸν τοῦ βουλεύεσθαι· οἱ δὲ τὸν τοῦ συμβουλεύειν, εἰς ἀποδιατρί-
βουσι τὴν ὑπερόριον λαλιάν· ἀγαπῶντας δὲ τοῖς οἰκείοις πράγμα-
σιν· οὐδὲν γὰρ εἶναι ῥᾷον, ἢ πρεσβείαν ἀπαγγεῖλαι· βούλομαι δ᾽ ὑμῖν
ἔφη καὶ ἐπιδεῖξαι, ὡς δεῖ τὸ πρᾶγμα γίνεσθαι· ἅμα δ᾽ ἐκέλευεν ἀνα-
γνωσθῆναι τὸ ψήφισμα τοῦ δήμου· ἀναγνωσθέντος δ᾽ εἶπεν· ὅτι
κατὰ τοῦτο ἐξεπέμφθημεν· καὶ ταῦτα ἐξεπράττομεν ἃ ἐνταῦθα
γέγραπται· λαβὲ δή μοι καὶ τὴν ἐπιστολὴν ἣν ἥκομεν παρὰ Φιλίπ-
που φέροντες· ἐπειδὴ δ᾽ ἀνεγνώσθη, ἔχετε ἔφη τὴν ἀπόκρι-
σιν καὶ λοιπόν ἐστιν ὑμῖν βουλεύσασθαι· θορυβησάντων δὲ τῶν ἐπαινούν-
των μέν, ὡς δεινός τις εἴη καὶ σύντομος· τῶν δὲ πλειόνων ὡς πο-
νηρὸς καὶ φθονερός· σκέψασθε ἔφη ὡς συντόμως καὶ τἄλλα
πάντα ἀπαγγελῶ· ἔδοξε μνημονικὸς εἶναι καὶ δεινὸς λέγειν
Αἰσχίνῃ Φίλιππος· οὐκ ἔμοιγε· ἀλλ᾽ εἴ τις αὐτοῦ τὴν τύχην περι-
ἑτέρῳ περιθείη, οὐ καὶ πάνυ τι καταδεὴς εἴη· ἔδοξε καὶ Κτησιφῶν-
τι τὴν ὄψιν θαυμαστὸς εἶναι· ἐμοὶ δὲ οὐ χείρων Ἀριστόδημος ὁ ὑπο-
κριτής· ὃς παρ᾽ ἡμῖν καὶ συνεπρέσβευε· μνημονικόν τις

αὐτοῦ φησιν εἶναι· καὶ γὰρ εἰ τοῖς συμπρέσβεσι δεινὸς ἦν· ἀλλὰ Φιλοκράτης
ὅμως ἡμῶν, δεινότερος λόγον τίς φήσειεν ἐμοὶ καταλιπεῖν ὑπὲρ ἀμφοῖν
πόλεως· ἀλλ' οὐ ταῦτ' ἦν ὑπὸ τοῦ ῥήτορος οὗτος, οὐ ταῦτ' ἐμοὶ λόγου κατὰ διη· ταῦ
τα μὲν οὕτως ἔφη προσείρηται· ἐγὼ δὲ ψήφισμα γράφω· καὶ τῷ κήρυκι σπεί
σασθαι τῷ παρὰ Φιλίππου ἥκοντι· καὶ τοῖς μέλλουσι παρ' αὐτοῦ δεῦρο ἥξειν
πρέσβεσι· καὶ τοὺς πρυτάνεις ἐπειδὰν ἥκωσιν οἱ πρέσβεις ἐπὶ δύο ἡμέ
ρας ἐκκλησίαν ποιεῖν· μὴ μόνον ὑπὲρ εἰρήνης, ἀλλὰ καὶ περὶ συμ
μαχίας· καὶ τοὺς πρέσβεις ἡμᾶς εἰ δοκοῦμεν ἄξιοι εἶναι ἐπαινέσαι·
καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον· ὅ τι δ' ἂν μὴ ἐγὼ λέγω,
λαβὲ τὰ ψηφίσματα· ἵν' εἰδῆτε ὦ ἄνδρες δικασταί· καὶ τὴν ἀνωμαλίαν
αὐτοῦ καὶ τὸν φθόνον· καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοινω
νίαν· καὶ τὸ ἦθος ὡς ἐπίβουλον καὶ ἄπιστον· κάλει δέ μοι καὶ τοὺς συμ
πρέσβεις· καὶ τὰς μαρτυρίας αὐτῶν ἀνάγνωθι· καὶ τὰ ψηφίσματα
Ψηφίσματα Δημοσθένους· οὐ τοίνυν ταῦτα μόνον ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα
ἐν τῇ βουλῇ θέαν εἰς τὰ Διονύσια κατανεῖμαι τοῖς πρέσβεσιν· ἐπειδὰν
Ψήφισμα ἥκωσι τοῖς Φιλίππου· λέγε καὶ τοῦτο τὸ ψήφισμα· ἀνάγνωθι δὴ
καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν· ἵν' εἰδῆτε ὦ ἄνδρες Ἀθη
ναῖοι ὅτι Δημοσθένης οὐχ ὑπὲρ τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ
Μαρτυρία Λύσιν αὐτὸν καὶ ὁμόσπονδον δεκάτα· τὴν μὲν τοίνυν κοινωνίαν
λόγων περὶ τῆς εἰρήνης πράξεων, οὐκ ἐμὴν καὶ Φιλοκράτους, ἀλλὰ
Δημοσθένους καὶ Φιλοκράτους ὑπονοεῖτο· καὶ τὰς πίστεις τῶν εἰρη
μένων ἱκανὰς ὑμῖν οἶμαι παρεσχῆσθαι· τῶν μὲν γὰρ ἀπαγγελιῶν
ὑμεῖς ἐστέ μοι μάρτυρες· τῶν δ' ἐν τῇ Μακεδονίᾳ ῥηθέντων, καὶ τῶν

κατὰ τὴν πορείαν ἣν ἡμῖν συνέβαινε ποιεῖν· τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας
παρεχόμενος. τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας,
ἠκούσατε καὶ μέμνησθε· ἧς τὴν ἀρχὴν ἐποιήσατο ὑπὸ τῆς δημηγο-
ρίας ἣν εἶπον περὶ τῆς εἰρήνης ἐγώ· καὶ ταῦθ᾽ ὑπομαρτυροῦντο τῆς κα-
τηγορίας ἔταξε μόνος· ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε· τοὺς
γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι· οὓς ἔπεμ-
ψαν πρὸς ὑμᾶς οἱ Ἕλληνες, μεταπεμφθέντες ὑπὸ τοῦ δήμου· ἵνα
κοινῇ καὶ πολεμοῖεν εἰ δέοι Φιλίππῳ μετὰ Ἀθηναίων· καὶ τῆς εἰ-
ρήνης εἰ τοῦτ᾽ εἶναι δοκοίη συμφέρον μετάσχοιεν· σκέψασθε δὴ πράγ-
ματος μεγάλην κλοπὴν καὶ δεινὴν ἀναισχυντίαν αὐτοῦ· τῶν γὰρ
πρέσβεων οὓς ἐξαπέμψατε εἰς τὴν Ἑλλάδα, ἔτι τοῦ πολέμου πρὸς
Φίλιππον ὑμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως ὅτ᾽ ἐξε-
πέμφθησαν, καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα, ἐν τοῖς δημο-
σίοις ἀναγέγραπται γράμμασι· τὰ δὲ σώματα αὐτῶν ἐστὶν οὐκ ἐν
Μακεδονίᾳ ἀλλ᾽ Ἀθήνησι· ταῖς δὲ ξενικαῖς πρεσβείαις βουλὴ, τὰς
εἰς τὸν δῆμον προσόδους προβουλεύει· οὗτος δέ φησι παρεῖναι τὰς
ἀπὸ τῶν Ἑλλήνων πρεσβείας· παρελθὼν τοίνυν ὦ Δημόσθενες ἐπὶ
τὸ βῆμα τοῦτο ἐν τῷ ἐμῷ λόγῳ, εἰπὲ πόλεως ἧστινος βούλει τῶν Ἑλ-
ληνίδων τοὔνομα, ἐξ ἧς ἀφῖχθαι τότε φῄς. τοὺς πρέσβεις καὶ τὰ προ-
βουλεύματα αὐτῶν ἐκ τοῦ βουλευτηρίου δὸς ἀναγνῶναι· καὶ τοὺς Ἀθηναί-
ων πάλαι πρέσβεις, οὓς ἐξέπεμψαν ἐπὶ τὰς πόλεις μάρτυρας· κἂν παρεῖ-
ναι καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖτο μαρτυρη-
σωσιν· ἢ τὰς πρὸς τὴν βουλὴν αὐτῶν προσόδους· καὶ τὰ βουλεύματα

ἐὰν παράσχῃς ἐν ᾧ σοῦ φῂς χρόνῳ οὐ καταβαίνω καὶ θανάτου τιμῶμαι.
ἀνάγνωθι δή μοι καὶ τὸ τῶν συμμάχων δόγμα, τί λέγει· ἐν ᾧ διαρρήδην γέ-
γραπται· ἐπειδὴ βουλεύεται ὁ δῆμος ὁ Ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς Φί-
λιππον· οἱ δὲ πρέσβεις οὔπω πάρεισιν, οὓς ἐξέπεμψεν ὁ δῆμος εἰς τὴν
Ἑλλάδα παρακαλοῦντας τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων·
δεδόχθαι τοῖς συμμάχοις· ἐπειδὰν ἐπιδημήσωσιν οἱ πρέσβεις, καὶ τὰς
πρεσβείας ἀπαγγείλωσιν Ἀθηναίοις καὶ τοῖς συμμάχοις, προγράψαι τοὺς πρυ-
τάνεις ἐκκλησίας δύο κατὰ τὸν νόμον· ἐν δὲ ταύταις βουλεύσασθαι περὶ
τῆς εἰρήνης Ἀθηναίους· ὅ τι δ' ἂν βουλεύσηται ὁ δῆμος, τοῦτ' εἶναι κοινὸν δόγ-
μα τῶν συμμάχων· ἀνάγνωθι δή μοι τὸ κοινὸν τῶν συνέδρων δόγμα·
Δογμα συνεδρων — παραναγνῶθι δή μοι καὶ τὸ Δημοσθένους ψήφισμα· ἐν ᾧ κελεύει τοὺς
πρυτάνεις μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, καὶ τὴν ἐν τῷ Διονύσου ἐκ-
κλησίαν, προγράψαι δύο ἐκκλησίας· τὴν μὲν τῇ ὀγδόῃ ἐπὶ δέκα· τὴν
δὲ τῇ ἐννάτῃ ἐπὶ δέκα· ὁρίζων τὸν χρόνον καὶ προϋφαιρῶν τὰς ἐκκλη-
σίας πρὶν ἐπιδημῆσαι τοὺς παρὰ τῶν Ἑλλήνων πρέσβεις· καὶ τὸ μὲν
τῶν συμμάχων δόγμα κελεύει, ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ, ὑπὲρ τῆς εἰ-
ρήνης μόνον ὑμᾶς βουλεύσασθαι· Δημοσθένης δὲ καὶ περὶ συμμαχίας
ψηφισμα — κελεύει· λέγε δὲ αὐτοῖς τὸ ψήφισμα· τῶν μὲν γὰρ ψηφισμάτων
ἀμφοτέρων, ἀκηκόατε ὦ Ἀθηναῖοι· ὑφ' ὧν ἐξελέγχεται Δημοσθένης
λας ἀποδημούσας πρεσβείας ἐπιδημεῖν φάσκων· καὶ βουλομένων
ὑμῶν ἀκροᾶσθαι τὸ τῶν συμμάχων ἄκυρον πεποιηκὼς δόγμα· οἱ μὲν
γὰρ ἀπεφήναντο ἀναμεῖναι τὴν πόλιν τὰς ἑλληνικὰς πρεσβείας· Δημο-
σθένης δέ, οὐ μόνον λόγῳ κεκώλυκε περιμένειν, ὃ πάντων αἴσχιστα

καὶ τάχιστα κατατιθεμένους, ἀλλ' ἔργῳ καὶ ψηφίσματι προστάξασιν
δὴ βεβουλεῦσθαι· εἴρηκε δὲ ὡς ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημη-
γορήσαντος τοῦ Φιλοκράτους· ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην
ἣν εἰσηγεῖτο ἐκεῖνος εἰρήνην ὡς αἰσχρὰν· καὶ ἀναξίαν τῆς πόλεως
αἰσχρὰν φάσκων· τῇ δ' ὑστεραίᾳ πάλιν ἡμέρᾳ, ὡς οὗτος ἀγορεύει μοι
λέω Φιλοκράτει καὶ τὴν ἐκκλησίαν καθημαρίσας, φέρων ᾠχόμην·
πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν προγόνων
λέγουσι τρόπαια· μηδὲ τοῖς Ἕλλησι βοηθεῖν· ὅτι οὐ μόνον τα
δὴ κατηγόρηκε, ἀλλὰ καὶ ἀδύνατα γενέσθαι· μίαν μὲν αὐτὸς Δη-
μοσθένης καθ' αὑτοῦ μαρτυρεῖ μαρτυρήσει· ἑτέραν δὲ πάντες
Ἀθηναῖοι καὶ ὑμεῖς ἀναμιμνησκόμενοι· τρίτην δὲ ἡ τῆς αἰτίας
ἀπιθανότης· τετάρτην δὲ ἀνὴρ ἀξιόλογος εἷς τῶν τε πολιτευμά-
των ἀκμιτῶν· ᾧ τὸ ψήφισμα ἐπεδείξατο Δημοσθένης· καὶ ἀνα-
κοινοῦντο εἰδὼς τῷ γραμματεῖ· οὐχ ὑπεναντίον· ἀλλὰ ταὐτὸ Φιλοκρά-
τει γεγραφώς· καί μοι πάλιν λέγε τὸ ψήφισμα· καὶ ἀνάγνωθι τὸ Δη-
μοσθένους ἐν ᾧ φαίνεται γεγραφώς· τῇ μὲν προτέρᾳ τῶν ἐκκλη-
σιῶν συμβουλεύειν τὸν βουλόμενον· τῇ δ' ὑστεραίᾳ, τοὺς προέδρους
τὰς γνώμας ἐπιψηφίζειν· λόγον δὲ μὴ προτιθέναι, ἐν ᾧ με φησὶν
ψηφισμα αὐτὸς Φιλοκράτει συνειπεῖν· οὐκοῦν τὰ μὲν ψηφίσματα ὡς ἐγρά-
φη ἐξ ἀρχῆς μένει· οἱ δὲ τῶν συκοφαντῶν λόγοι, πρὸς τοὺς ἐφημέ-
ρους καιροὺς λέγονται· ποιεῖ δέ μου τὴν κατηγορίαν, ὁ μὲν κατήγορος
διαιρετήν· τὸ ψήφισμα δὲ καὶ τὸ ἀληθὲς, μίαν· λόγων γὰρ μὴ
προτεθέντων εἰς τὴν ὑστεραίαν ἐκκλησίαν· τῶν δὲ προέδρων κωλύ-

λύοντι, οὐ πένητι εἰπεῖν· τί δ' ἂν καὶ βουλόμενος εἶπον ταῦτα, Φιλοκρά-
τους προῃρημένου κατηγορεῖν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραί-
ᾳ· μίαν δ' ἐν ὑπαδιαλιπὼν συνηγορεῖν· πότερα ὡς αὐτὸς ἀδοξή-
σων, ἢ ὡς ἐκεῖνον ὠφελήσων· ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξανα-
γκάσθαι· ἀλλ' ὑπὸ πάντων μὲν μισεῖσθαι· περαίνειν δὲ μηδέν· κα-
λεῖ μοι δὲ καὶ Ἀμύντορα Ἐρχιέα καὶ τὴν μαρτυρίαν ἀναγνωσθι· ὃν δὲ τρό-
πον γέγραπται προδιελθεῖν ὑμῖν βούλομαι· μαρτυρεῖ Ἀμύντωρ
Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς Φίλιπ-
πον κατὰ τὸ Δημοσθένους ψήφισμα, ἐν τῇ ὑστέρᾳ τῶν ἐκκλη-
σιῶν· ὅτε οὐκ ἐξῆν δημηγορεῖν· ἀλλὰ τὰ περὶ τῆς εἰρήνης
καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο, ἐν ταύτῃ τῇ ἐκκλησίᾳ
Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον, ψήφισμα γεγραμ-
μένον ὑπ' αὐτοῦ· ἐφ' ᾧ ἐπιγέγραπτο Δημοσθένους ὄνομα· καὶ ἀνα-
κοινοῦσθαι αὐτῷ αὐτὸν εἰ δῷ τῷ γραμματεῖ ἐπιψηφίσασθαι τοῖς
προέδροις· καὶ εἶναι ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγρα-
ψε ποιεῖσθαι ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷσπερ καὶ Φιλοκράτης ἐγεγράφει·
καλεῖ δέ μοι Ἀμύντορα Ἐρχιέα καὶ ἐκκλήτους· ἐὰν μὴ ἐθέλῃ μαρ-
παρεῖναι·

Μαρτυρία

τῆς μὲν μαρτυρίας ἀκηκόατε ὦ ἄνδρες Ἀ-
θηναῖοι· σκοπεῖτε δὲ πότερα ὑμῖν δοκεῖ Δημοσθένης κατ' ἐμοῦ κατη-
γορηκέναι, ἢ τοὐναντίον αὐτὸς αὐτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι· ἐπει-
δὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει, καὶ τοὺς εἰρημένους λόγους
ἐπιχειρῶν διεξέρχεται, οὔτε ἀναποδράσομαι, οὔτε τῶν τότε εἰ-
ρημένων οὐδὲν ἀρνήσομαι· οὐ γὰρ αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ

καὶ μᾶλλον φιλοτιμοῦμαι· βούλομαι δ' ὑμᾶς καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς ἐβουλεύσασθε· τὴν μὲν γὰρ ἀρχὴν ἐποιήσασθε τοῦ λόγου ὑπὲρ Ἀμφιπόλεως· συνέβαινε δ' ἤδη τὸν στρατηγὸν ἐν τῷ πολέμῳ ἑβδομήκοντα καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι· ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος· καὶ κατέστησεν εἰς τὸ συνέδριον· προῄρημαι γὰρ πρὸς ὑμᾶς παρρησιάσασθαι καὶ ἐλευθέρως καὶ τἀληθῆ εἰπὼν σώζεσθαι· ἐὰν δ' ἄλλως πως γινώσκητε, καταχρήσασθέ μοι· οὐ γὰρ ἂν ὑποσταλαίμην· ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων μὴ κατακεκομικέναι· καὶ ταῦθ' ὑμῖν ἀεὶ τοὺς ἀγῶνας οἱ κατήγοροι δεικνύουσι· χίλια δὲ καὶ πεντακόσια τάλαντα, οὐκ εἰς στρατιώτας, ἀλλ' εἰς ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι· Δηιάρη δὲ καὶ Δηίπυρον καὶ Πολυφόντα δραπέτας ἀπὸ τῆς Ἑλλάδος συνειλεγμένους· καὶ χωρὶς εἰς τοὺς περὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους· οἳ τοὺς μὲν ταλαιπώρους νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν· κατῆγον δὲ τὰ πλοῖα καὶ τοὺς Ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης· ἀντὶ δὲ ἀξιώματος καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἡ πόλις ἡμῶν Μυοννήσου καὶ τῆς τῶν λῃστῶν δόξης ἐνεπίμπλατο· Φίλιππος δὲ ὁρμηθεὶς ἐκ Μακεδονίας, οὐκέθ' ὑπὲρ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἠγωνίζετο· ἀλλ' ἤδη περὶ Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου τῶν ἡμετέρων κτημάτων· ἐξέλειπον δὲ Χερρόνησον ἤδη ἡμῶν οἱ πολῖται τὴν ὁμολογουμένως οὖσαν Ἀθηναίων· πλείους δὲ ἐκκλησίας συγκλήτους ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου ἢ τὰς τεταγμένας

ἐκ τῶν νόμων. οὕτω δὴ ἤδη σφαλερὰ καὶ ἐπικίνδυνα τὰ πράγματα,
ὥστε ἠναγκάσθη γράψαι ψήφισμα Κηφισοφῶν ὁ Παιανιεὺς εἷς τῶν
φίλων καὶ ἑταίρων τῶν Χάρητος ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον τὸν
ἐπὶ τῶν ὑπηρετικῶν. καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυνάμει τε-
ταγμένον. κἂν ἐντύχῃ που φράζειν ὅτι θαυμάζει ὁ δῆμος ὁ Ἀθηναίων·
εἰ Φίλιππος μὲν ἐπὶ Χερρόνησον τὴν Ἀθηναίων πορεύεται. Ἀθηναῖοι
δὲ, οὔτε τὸν στρατηγὸν ἴσασιν. οὔτε τὴν δύναμιν ἣν ἔπεμψαν ὅπου ἐστίν.
ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος. καὶ ἀναμνήσθητε τὸν
πόλεμον καὶ τὴν εἰρήνην τοὺς τῶν ὅπλων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς
πρέσβεις ἀπαιτεῖτε. οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν ἐν οἷς
οἱ περὶ τῆς εἰρήνης ἐγίνοντο λόγοι. ἀνιστάμενοι δὲ οἱ συντεταγμένοι
ῥήτορες, περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως, οὐδὲν ἐνεχείρουν λέγειν.
ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς πόλεως ἐκέλευον ὑμᾶς. καὶ τῆς ἐν
Σαλαμῖνι ναυμαχίας πρὸς τὸν Πέρσην μεμνῆσθαι. καὶ τῶν τάφων καὶ
τῶν προγόνων καὶ τῶν τροπαίων. ἐγὼ δὲ τούτων μὲν ἁπάντων ἔφην
δεῖν μεμνῆσθαι. μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας. τὰ
δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονεικίαν φυλάττεσθαι.
τὴν μὲν ἐν Πλαταιαῖς πρὸς τὸν Πέρσην πεζομαχίαν. καὶ τοὺς ἀγῶνας τοὺς
παρὰ Σαλαμῖνα. καὶ τὴν ἐν Μαραθῶνι μάχην. καὶ τὴν ἐπ' Ἀρτεμισίῳ
ναυμαχίαν. καὶ τὴν Τολμίδου στρατηγίαν ζηλοῦν κελεύων. ὃς χιλίους
ἐπιλέκτους ἔχων Ἀθηναίων διὰ μέσης Πελοποννήσου πολεμίας
οὔσης, ἀδεῶς διεξῄει. τὴν δὲ εἰς Σικελίαν στρατείαν φυλάττεσθαι· ἣν
ἐξέπεμψαν Λεοντίνοις βοηθήσοντες τῶν πολεμίων ἐμβεβληκότων

εἰς τὴν χώραν ἡμῶν· καὶ δεκελείᾳ ἐπιτετειχισμένης· καὶ τὴν τότε
λείαν ἀβουλίαν φυλάξασθαι· ὅτε ἡττημένοι τῷ πολέμῳ καὶ προκαλου-
μένων λακεδαιμονίων αὐτοὺς εἰρήνην ἄγειν, ἔχοντας πρὸς τῇ ἀττικῇ
λῆμνον καὶ ἴμβρον· καὶ σκῦρον· καὶ δημοκρατουμένους κατὰ τοὺς νό-
μους, τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν· πολεμεῖν δὲ προῃροῦντο οὐ δυνάμενοι.
κλεοφῶν δὲ, ὁ λυροποιὸς ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημό-
νευον παρεγγραφεὶς αἰσχρῶς πολίτης καὶ διεφθαρκὼς νομῇ χρημά-
των, τὸν δῆμον ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον εἴ τις εἰ-
ρήνης μνησθήσεται· τελευτῶντες δὲ, εἰς τοῦτο τὴν πόλιν προήγαγον, ὥστε
ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι· ἀποστάντας πάντων· καὶ τὰ τεί-
χη καθελόντας καὶ παραδεξαμένους φρουρὰν· καὶ λακεδαιμόνιον ἁρ-
μοστήν· καὶ τῆς δημοκρατίας τοῖς τριάκοντα ἀφεμένους· οἳ χιλίους καὶ
πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν· τὴν μὲν τοιαύτην
ἀβουλίαν ὁμολογῶ παραγγέλλειν τῇ πόλει φυλάττεσθαι· τὰ δὲ ὀλί-
γον πρότερον εἰρημένα, μιμεῖσθαι· οὐ γὰρ περὶ τῶν ἀλλοτρίων, ἀλλὰ
περὶ τοῦ πάντων οἰκειοτάτου ταῦτα ἀκήκοα· ἀτρόμητος γὰρ
ὁ πατὴρ ὁ ἡμέτερος ὃν σὺ λοιδορεῖς, οὐκ εἰδὼς, οὐδ᾽ ἐπιδὼν τῆς ἐκεί-
νου ἡλικίας ὅστις ἦν· καὶ ταῦτα ὦ δημόσθενες, ἐκ τῶν νομάδων σκυ-
θῶν τὸ πρὸς μητρὸς γένος ὤν, ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα· συγκα-
τήγαγε δὲ τὸν δῆμον καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφὸς· ἐμὸς δὲ θεῖος
κλεόβουλος ὁ γλαύκου τοῦ ἀχαρνέως μετὰ δημαινέτου τοῦ βου-
ζύγου, συνενίκησε ναυμαχῶν χίλωνα τὸν λακεδαιμονίων ναύαρχον· ὥστε
οἱ κατὰ μοι καὶ συνήθη κατὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἡμῶν.

ἐπιτιμᾶς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν ἀρκαδίᾳ δημηγορίαν καὶ πρεσ-
βείαν· καὶ μεταβεβλῆσθαι φὴς αὐτὸς ὢν ἀνδράποδον ὀλίγου καὶ μόνον οὐκ ἐστιγ-
μένος αὐτόμολος· ἐγὼ ἐν μὲν τῷ πολέμῳ συνίστην καθ' ὅσον ἠδυνάμην
ἀρκάδας καὶ τοὺς ἄλλους ἕλληνας ἐπὶ φίλιππον· οὐδενὸς δ' ἀνθρώπου ἐπι-
κουροῦντος τῇ πόλει· ἀλλὰ τῶν μὲν διαπυθομένων· τῶν δὲ ἐπο-
ρώντων ὅ τι συμβήσεται· τῶν δὲ συνεπιστρατευόντων· τῶν δὲ ἐν τῇ πό-
λει ῥητόρων χορηγῶν ἐν ταῖς καθ' ἡμέραν δαπάναις τὸν πόλεμον ποι-
ουμένων ὁμολογῶ συμβουλεῦσαι τῷ δήμῳ πρὸς φίλιππον δια-
λύσασθαι· καὶ τὴν εἰρήνην συνθέσθαι· ἣν σὺ νῦν αἰσχρὰν νομίζεις·
οὐδεπώποτε ἁψάμενος ὅπλων· ἐγὼ δὲ αὐτὴν εἶναι πολλῷ φημὶ καλλί-
ω τοῦ πολέμου· χρὴ δέ, ὦ ἄνδρες ἀθηναῖοι, τοὺς μὲν πρέσβεις θεωρεῖν
πρὸς τὸν καιρὸν καθ' ὃν ἐπρέσβευον· τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυνά-
μεις ὧν ἡγοῦντο· καὶ γὰρ τὰς εἰκόνας ἱστᾶτε καὶ τὰς προεδρίας· καὶ τοὺς στε-
φάνους καὶ τὰς ἐν τῷ πρυτανείῳ σιτήσεις δίδοτε, οὐ τοῖς τὴν εἰρή-
νην ἀπαγγείλασιν· ἀλλὰ τοῖς τὰς μάχας νικήσασιν· εἰ δ' ἔσονται τοῦ
πολέμου, αἱ μὲν αἰτίαι τῶν πρέσβεων· αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν,
ἀσπόνδους καὶ ἀκηρύκτους τοὺς πολέμους ποιήσετε· οὐδεὶς γὰρ ἐθελήσει
πρεσβεύειν· περὶ δὲ κερσοβλέπτου καὶ φωκέων· καὶ τῶν ἄλλων ἃ πρὸς τού-
τοις διαβέβλημαι ὑπόλοιπον εἰπεῖν· ἐγὼ γάρ, ὦ ἄνδρες ἀθηναῖοι, καὶ
ἐν τῇ προτέρᾳ καὶ ὑστέρᾳ πρεσβείᾳ, ἃ μὲν ὡς εἶδον ὡς εἶδον ὑμῖν ἀπήγ-
γειλα· ἃ δ' ἤκουσα, ὥσπερ ἤκουσα· τίνα οὖν ἐστιν ἑκάτερα τούτων ἅ τε
εἶδον ἅ τ' ἤκουσα περὶ κερσοβλέπτου· εἴδομεν μὲν ἐγὼ καὶ οἱ συμπρέσβεις
ἅπαντες ὅμηρον ὄντα τὸν υἱὸν τὸν κερσοβλέπτου πρὸς φίλιππον· καὶ ἔτι

καὶ νῦν ταῦθ' οὕτως ἔχει· συνέβαινε δὲ ὅτε τὴν προτέραν ἐπρέσβευον
πρεσβείαν ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι δεῦρο· Φίλιππον δ'
ἐπὶ Θρᾴκην ἐξιέναι· πρὸς δ' ὑμᾶς ὡμολογηκέναι, ἕως ἂν ὑμεῖς περὶ
τῆς εἰρήνης βουλεύσησθε, μὴ ἐπιβήσεσθαι μεθ' ὅπλων Χερρονήσου·
ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἐν ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδὲ
μίαν μνήμην ἐγεγένητο περὶ Κερσοβλέπτου· ἤδη δὲ ὑμῶν κεχειροτονημέ-
νων ἐπὶ τοὺς ὅρκους, οὔπω δὲ ἀπειληφότων πρὸς τὴν ὑμετέραν πρεσ-
βείαν, ἐκκλησία γίνεται· ἐν ᾗ ὁ Δημοσθένης ὁ νυνὶ κατηγορῶν ἐμοῦ
λαγχάνει προεδρεύειν· ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Δημόκριτος ὁ Λαμ-
ψακηνὸς εἶπε παρελθὼν ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης·
ἀξιοῖ δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσι· καὶ συνανα-
γραφῆναι Κερσοβλέπτην τοῖς ὑμετέροις συμμάχοις· ῥηθέντων δὲ τού-
των τῶν λόγων Ἀλεξίμαχος ὁ Πήληξ δίδωσιν ἀναγνῶναι τὸ ψήφισμα
τοῖς προέδροις, ἐν ᾧ ἐγέγραπτο ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ
τῶν ἄλλων συμμάχων τὸν ἥκοντα περὶ Κερσοβλέπτου· ἀναγνωσθέντος
δὲ τοῦ ψηφίσματος τοῖς προέδροις· καὶ ταῦτα οἶμαι πάντας ὑμᾶς μνη-
μονεύειν· ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης, οὐκ ἔφη τὸ ψήφισμα
ἐπιψηφιεῖν· οὐδὲ λύσειν τὴν πρὸς Φίλιππον εἰρήνην· οὐδὲ γιγνώσκειν
τῶν συμμάχων τοὺς συναπτομένους ὥσπερ τοῖς ἀσεβοῦσι τῶν
ἱερῶν· ἀποδεδόσθαι γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν· βοώντων δ' ὑμῶν
καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα κατ' ὄνομα καλούντων, οὕτως ἄκοντος
αὐτοῦ τὸ ψήφισμα ἐπεψηφίσθη· ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι
τὸν γράψαντα τὸ ψήφισμα Ἀλεξίμαχον· καὶ τοὺς προέδρους τοὺς δη-

μαρτυρία

μοσθένους· καὶ τὴν μαρτυρίαν ἀνάγνωθι· ὁ μὲν τοίνυν ὡς ἐπιδακρύσας
νῦν ταῦτα ἄρτι ὡς Δημοσθένης μνησθεὶς Κερσοβλέπτου, φαίνεται τῆς
συμμαχίας ἐκκλείων αὐτόν· ὡς δ' ἡ παροῦσα ἐκκλησία διελύθη,
ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέσβεις ἐν τῷ στρα-
τηγίῳ τῷ ὑμετέρῳ· τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν ὁ κατήγορος
ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα τὸν πρεσβευτὴν τὸν
παρὰ Κερσοβλέπτου· παρόντων μὲν τῶν συμμάχων ἁπάντων
ἐψηφισμένου δὲ τοῦ δήμου· παρακαθημένων δὲ τῶν στρα-
τηγῶν, ὑπὸ θεῶν τοσαύτην ῥώμην λαβὼν ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσι-
γήθη· εἰ δ' ἄρα ἐγὼ τοῦτο ἐτόλμων ποιεῖν, ἐπέτρεψας ἄν, ὦ Δη-
μόσθενες, καὶ οὐκ ἂν ἀνέπλησας βοῆς καὶ κραυγῆς τὴν ἀγοράν·
ὁρῶν με ὥς σὺ φῂς ἄρτι ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν·
καλείτω δέ μοι τοὺς στρατηγοὺς ὁ κῆρυξ· καὶ τοὺς συνέδρους τῶν
συμμάχων· καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε·

μαρτυρία

οὐκοῦν δεινόν,
ὦ ἄνδρες Ἀθηναῖοι εἴ τις κατ' ἀνδρὸς πολίτου οὐχ ἑαυτοῦ ἀλλ' ὑμε-
τέρου· τοῦτο γὰρ προσδιορθοῦμαι, τολμήσει καὶ ταῦτα καταψεύδεσθαι·
κινδυνεύοντος ὑπὲρ τοῦ σώματος· ἢ πῶς οὐ πολὺ πρότερος οἱ πατέρες ἡμῶν
ἐν ταῖς φονικαῖς δίκαις ἐπὶ Παλλαδίῳ κατέδειξαν τέμνοντας τὰ
τόμια τοῦ νικῶντας τῇ ψήφῳ ἐξορκίζεσθαι· καὶ τοῦτο ὑμῖν πάτρι-
ον ἔτι καὶ νῦν τἀληθῆ καὶ δίκαια ἐψηφίσθαι τῶν δικαστῶν·
ὅσοι τὴν ψῆφον ἤνεγκαν ἑαυτοῖς· καὶ ψεῦδος μηδὲν εἰρηκέναι·
εἰ δὲ μή, ἐξώλη τε αὑτὸν εἶναι ἐπαράσασθαι καὶ τὴν οἰκίαν τὴν αὑτοῦ·
τοῖς δὲ δικασταῖς εὔξασθαι πολλὰ καὶ ἀγαθὰ εἶναι· καὶ μάλα ὀρθῶς

καὶ πολιτικοῦς, ὦ ἄνδρες Ἀθηναῖοι· εἰ γὰρ μηδεὶς αὖ ὑμᾶς ἑαυτὸν ἀνα-
πείσαι φόνον δίκαιον βούλεται, ἢ πονηρὸν κερύλαξ αὐτοῦ αὐτὴν
τύχην ἢ κινοῦσαν ἢ τὴν ἐπί τι μιᾶς τινος ἀφελόμενος ἐξ ὧν αὐτοῦ
ἀνὴρ ἢ καί τινες· οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν· ἀξιῶ, ὦ ἄνδρες
Ἀθηναῖοι, δοῦναι ταῖς μοι συγγνώμην εἶναι καὶ οὐδὲν αὐτοὶ προσεῖπον καὶ
μὴ καθαρεύοντα τῷ σώματι· μηδὲ ἐν τῷ φόνῳ ἀφικνοῦντι ἐπὶ τὰ τὸ
λοιπὸν μηδ' ἐς τοῦ κατηγορήματος τοῦ Κερσοβλέπτου ἐπαν
ὑφορᾶσθαι ἔξαιμι παρ' ὅσον· κάλλιστον γὰρ οἶμαι πρᾶγμα καὶ χρησιμώ-
τατον τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίνεται· καὶ γὰρ τὸν χρόνον καὶ
τὰ ψηφίσματα καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι
τὸν ἅπαντα τὸν χρόνον φυλάττετε· εἴρηκε δ' οὗτος πρὸς ὑμᾶς περὶ
τούτου διαφθαρῆναι τὰ Κερσοβλέπτου πράγματα· ὅτι τῆς πρεσβεί-
ας ἡγεμὼν ἦν καὶ κατακλιμακίσας παρ' ὑμῖν· αὐτοῦ κελεύοντος
εἰς θέρει ἡμᾶς ἰέναι Κερσοβλέπτου πολιορκουμένου καὶ διαμαρ-
τύρασθαι Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ ἐθέλησα· ἀλλ' ἐκαθήμην ἐν
ὠρεῷ· καὶ οἱ συμπρέσβεις προξενίας κατασκευαζόμενοι. ἀκούσατε
δὴ τῆς Χάρητος ἐπιστολῆς ἣν ἐπέστειλε τότε τῷ δήμῳ ὅτι Κερσοβλέ-
πτης ἀπολώλεκε τὴν ἀρχήν· καὶ ἱερὸν ὄρος κατείληφε Φίλιππος·
ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος· Δημοσθένης δ' ἐν τῷ δή-
μῳ προήδρευε· τοῦτον τὸν μῆνα ἐπεὶ τῶν πρέσβεων ἑβδόμῃ φθί-
νοντος οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ μηνός,
ἀλλὰ μουνυχιῶνος ἐξωρμήσαμεν· καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑ-
μῖν παρέξομαι· ἔστι γὰρ αὐτοῖς ψήφισμα, ὃ κελεύει τοὺς πρεσβεῖς

ψήφισμα

χρόνος

ἀπιέναι τοὺς ὅρκους· καί μοι λέγε τὸ ψήφισμα τῆς βουλῆς· παραναγνωσθῇ δὴ καὶ τὸν χρόνον ὅστις ἦν· ἀκούετε· μουνιχιῶνος ἐψηφίσθη γ΄ τῇ ἱσταμένου· ὁ δὲ κερσοβλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν ἀρχὴν πρὶν ἐμὲ ἀπιέναι; ὥς φησι χάρης ὁ στρατηγὸς καὶ ἡ ἐπιστολὴ τοῦ προειρημένου· εἴπερ ἐλαφηβολιὼν ἐστὶ μουνιχιῶνος πρότερος· ἐδυνάμην οὖν ἐγὼ σῶσαι κερσοβλέπτην ὃς πρὶν ἐμὲ ἐξορμῆσαι οἴκοθεν ἀπολώλει· ἔπειτα οἴεσθέ τι τοῦτον ἀληθὲς εἰρηκέναι ἢ περὶ τῶν ἐν μακεδονίᾳ πραχθέντων ἢ περὶ τῶν ἐν θετταλίᾳ ὃς τοῦ βουλευτηρίου καὶ τῶν δημοσίων γραμμάτων· καὶ τοῦ χρόνου καὶ τῶν ἐκκλησιῶν καταψεύδεται· καὶ κερσοβλέπτην ἀθηναίων ἔκσπονδον ἐποίεις πρόεδρος ὤν· ἐν ὥρᾳ δὲ κλάεις· καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς· πρότερον δὲ ὑπομείνας τὴν ἐπιβουλὴν τῆς βουλῆς τῆς ἐξ ἀρείου πάγου· οὐκ ἐπεξῆλθες τῇ τοῦ τραύματος γραφῇ· ἣν ἐγράψω τὸν δημομέλην καὶ ἀνεψιὸν ὄντα· ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν· καὶ σεμνολογεῖν ὑμῖν τοῖς οὐκ εἰδόσι τοῦτον· ὅτι δημοσθένους γένος εἰ νόθος τοῦ μαχαιροποιοῦ· ἐπεχείρησας δὲ εἰπεῖν ὡς καὶ τὴν ἐπὶ τοὺς ἀμφικτύονας πρεσβείαν ἐξομοσάμενος παραπρεσβεύσαι· καὶ ψήφισμα τὸ μὲν ἀνέγνως· τὸ δὲ παρέβης· ἐγὼ δὲ πρεσβευτὴς πρὸς τοὺς ἀμφικτύονας αἱρεθεὶς ἀρρώστως δὲ ἔχων· καὶ μετὰ πολλῆς τῆς προθυμίας ἀπαγγέλλων ἀφ' ἧς ἧκον πρεσβείας πρὸς ὑμᾶς· τὴν μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην· ἀλλ' ὑπεσχόμην πρεσβεύσειν ἐὰν ὦ δυνατός· πρὸς δὲ τὴν βουλὴν ἀπιόντων τῶν συμπρέσβεων

τὸν ἀδελφὸν τὸν ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν καὶ τὸν ἰατρὸν ἔπεμψα
οὐκ ἐξομνυμένους ἐμέ· οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ δήμου
χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυσθαι· ἀλλὰ τὴν ἀρρωστίαν μου
δηλώσαντας. ἐπειδὴ δὲ οἱ συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς Φω-
κέας συμβάντα ἀνέστρεψαν γενομένης ἐκκλησίας ἤδη ῥᾴων
καὶ δυνάμενος τῷ σώματι προσαναγκάζοντος τοῦ δήμου μηδὲν
ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας ἅπαντας
ἀπολογεῖσθαι πρὸς Ἀθηναίους ᾤμην δεῖν· καὶ ταύτης τῆς πρεσβείας
οὐ κατηγορεῖς μου διδόντος τὰς εὐθύνας· ἀλλ' ἐπὶ ταύτην τὴν πρεσ-
βείαν ἥκεις τὴν ἐπὶ τοὺς ὅρκους· ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως
ἀπολογήσομαι· σοὶ μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις,
μεταφέρειν τοὺς χρόνους· ἐμοὶ δὲ ἐφεξῆς λέγειν, ἀναλαβόντι
τὴν ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ τοὺς ὅρκους καὶ τῆς
πρεσβείας· πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων· ἑνδεκά-
του δὲ τοῦ συμπεμφθέντος ἡμῖν ἀπὸ τῶν συμμάχων, οὐδεὶς
αὐτῷ συσσιτεῖν ὅτε ἐξῄειμεν ἐπὶ τὴν ὑστέραν πρεσβείαν ἤθελεν·
οὐκ ἐν ταῖς ὁδοῖς ὅπου δυνατὸς ἦν εἰς τὸ αὐτὸ πανδοχεῖον καταλύειν·
ὁρῶντες αὐτὸν ἐν τῇ προτέρᾳ πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβου-
λευκότα· περὶ μὲν οὖν τῆς ἐπὶ Θρᾴκης ὁδοῦ, οὐκ ἐγένετο μνεία·
οὐδὲ γὰρ τὸ ψήφισμα ταῦτα ἡμῖν προσέταττεν· ἀλλ' ἀπολαβεῖν
μόνον τοὺς ὅρκους· καὶ ἄλλα ἄττα· οὐ τελοῦντας δὲ παραπαίνουσα
διεξήρχετο περὶ Κερσοβλέπτου ἤδη ἐψευσμένων ὡς ἀρτίως κι-
νοῦσα τα· οὕτως οὗτος οὐδὲ ἀληθὲς εἶπεν ἀλλὰ ψεύδεται· καὶ κατη-

γορεῖν οὐδὲν ἀληθὲς ἔχων πειρᾶται· ὥσπερ οἱ πολλοὶ θεωμένοι δὲ αὐτοῦ
ἀπὸ δὲ τοῦ γράμματος δὲ καταφέροντες· ἐνδεῖ τοῦ ἑτέρου τόνου ὥς αὐτός
ἔφη, τάλαντον ἀργυρίου· ὥστε τοὺς συμπρεσβεύσαντας ἀνάγκη μνησθῆ-
ναι τὰς ἀρχαίας ἐπωνυμίας αὐτοῦ· ἐν παισὶ μὲν γὰρ ὤν, ἐκλήθη
δι᾽ αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν, βάταλος· ἐκ παίδων δὲ ἀπαλ-
λαττόμενος καὶ δεκαταλάντους δίκας ἑκάστῳ τῶν ἐπιτρόπων
λαγχάνων, ἀργᾶς ἐκλήθη· ἀνὴρ δὲ γενόμενος προσείληφε, τὴν
τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν συκοφάντης· ἐπορεύετο δὲ λυ-
σόμενος τοὺς αἰχμαλώτους ὡς ἔφη· καὶ πρὸς ὑμᾶς ἄρτι ὡς εἴρηκεν·
ἰδὼν μὲν Φίλιππον ἐν τῷ πολέμῳ, οὐδένα πώποτε ἀθηναίων λύτρα
πραξάμενον· ἀκούων δὲ τῶν ἐκείνου φίλων ἁπάντων ὅτι καὶ
τοὺς λοιποὺς ἐὰν εἰρήνη γένηται ἀφήσει· πολλῶν δὲ ἠτυχηκότων
τάλαντον φέρων ἑνὸς ἀνδρὸς οὐδὲ τούτου λύτρα ἀπορεῖν ἱκανὰ λύτρα.
ὡς δὲ ἧμεν εἰς μακεδονίαν καὶ συνήλθομεν εἰς ταὐτὸν, καὶ Φίλιπ-
πον ἐκ θρᾴκης παρόντα κατειλήφαμεν· ἀνεγνώσθη μὲν τὸ ψή-
φισμα καθ᾽ ὃ ἐπρεσβεύομεν· καὶ τὰ προστεταγμένα ἡμῖν πρὸς τὸ
λαβεῖν ὅρκους ἀπολαβεῖν συνηρίθμουν μικρά· ὧδε οὐδεὶς ὑπὲρ τῶν
μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων τῶν δια-
βίβων ἐποιοῦντο, εἴπον ἐγὼ λόγους· οὓς καὶ ἀναγκαῖόν ἐστι πρὸς
ὑμᾶς εἰρῆσθαι· καὶ πρὸς τῶν θεῶν ὦ ἄνδρες ἀθηναῖοι ὥσπερ
καὶ τῆς κατηγορίας ἠκούσατε ὡς αὐτὸς ὁ κατήγορος εἶπεν ἣν ἐβουλήθη,
οὕτως καὶ τῆς ἀπολογίας ὡσαύτως ἀκούσατε. καὶ τὸν αὐτὸν τρόπον
μοι διαμείνητε ὅνπερ ἐν τοῖς ἤδη προειρημένοις λόγοις ἠκροάσασθε.

ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην ὦ ἄνδρες ἀθηναῖοι δεῖ πεπαῦσθαι, ἐπίπονος ὤν
λεγομένων τῶν πρέσβεων· ὅ τι μοι δοκῶ ποιῆσαι τὸ μέγιστον πεπραγμένον τοῦ δημ
δεινῶς ἀγνοεῖν· τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν καὶ περὶ τῶν ἄλλων δια-
λεχθῆναι καὶ περὶ τῶν αἰχμαλώτων εἰπεῖν· καὶ εἰ τοὺς ὑπηρέτας ἐπιτιμ
ἡ πόλις προσέταξε πρὶν αὐτοῖς, ἅπαντα πεπρᾶχθαι νομίζω· τὸ δ' ὑπὲρ
τοῦ ὅλου ὀρθῶς βουλεύσασθαι ὅσα καθ' ἡμᾶς ἐστιν, ἢ Φίλιππον, τοῦτ' ἐστὶν
ἔργον πρέσβεων φρονίμων· λέγων δὲ ἀφῆκα ἐγὼ περὶ τῆς εἰς πύλας στρα-
τείας· ὡς ὁρᾶτε οὐ σιγῶν ἐν παρρησίᾳ· ὅτι δὲ οὐ κακῶς περὶ τοῦ πρά-
γματος στοχάζομαι, μεγάλα τούτων ὑμῖν σημεῖα δείξω· παρῆσαν μὲν
γὰρ θηβαίων· ἧκον δὲ καὶ λακεδαιμονίων πρέσβεις· ἀφίγμεθα ἡμεῖς
ἔχοντες τοῦ δήμου ψήφισμα ἐν ᾧ γέγραπται· πράττειν δὲ τοὺς πρέσ-
βεις καὶ ἄλλο ὅ τι ἂν δύνωνται ἀγαθόν· ἅπαντες δὲ οἱ ἕλληνες πρὸς τὸ
μέλλον ἔσεσθαι βλέπουσιν· εἰ μὲν ᾤετο ὁ δῆμος αὐτῷ καλῶς
ἔχειν ἐξὸν εἰπεῖν μετὰ παρρησίας ἐν τῷ ψηφίσματι πρὸς Φίλιππον· θη-
βαίων μὲν περιελεῖν τὴν ὕβριν· βοιωτῶν δὲ ἀναστῆσαι τὰ τείχη, ταῦ-
τα ἂν ἠξίωσεν ἐν τῷ ψηφίσματι· νῦν δὲ αὐτοῖς μὲν κατέλιπον τὴν
ἐς τὸ ἀφανὲς ἀναφορὰν, ἂν μή τι πράξωσιν· ἐν ἡμῖν δὲ ἀποκιν-
δυνεύειν ᾠήθησαν δεῖν· δεῖ δὴ τοὺς πρὸς τὰ κοινὰ φιλοτιμουμένους, μὴ
κατέχειν μὲν ἑτέρων χώραν πρέσβεων· οὐκ ἐξῆν πέμπειν αὐθ-
ημῶν ἀθηναίους· αὐτοὺς δὲ τὰς πρὸς θηβαίους ἀπεχθείας φεύγειν·
ὧν εἷς ἦν ἐπαμινώνδας ὁ στρατηγός· ὃς οὐχ ὑποπτήξας τὸ τῶν ἀθη-
ναίων ἀξίωμα, εἶπε διαρρήδην ἐν τῷ πλήθει τῶν θηβαίων ὡς δεῖ
τὰ τῆς ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προ

σασι τῇ ἐπιδημίᾳ. ταῦτα δέ μου μεταξὺ λέγοντος, ἀναβοᾷ παμμέ-
γεθες Δημοσθένης· ὡς ἴσασι πάντες οἱ συμπρέσβεις ἡμῶν· καὶ γὰρ
πρὸς τοῖς ἄλλοις κακοῖς, βοιωτιάζει. ἦν δὲ τῶν παρ' αὐτοῦ τοιαῦτα τὰ
λεγόμενα· οὗτος ταραχῆς καὶ τόλμης ἐστὶ μεστός· ἐγὼ δὲ ὁμολογῶ
μαλακὸς εἶναι· καὶ πόρρωθεν τὰ δεινὰ δεδιέναι· καὶ ἀπαγορεύω μὴ
συνταράττειν ἡμᾶς πρὸς ἀλλήλους τὰς πόλεις· τὸ μὴ πολυπραγ-
μονεῖν ἡμᾶς τοὺς πρέσβεις μέγιστον ἀγαθὸν ὑπολαμβάνων εἶναι·
πορεύεται Φίλιππος εἰς Πύλας· ἐγὼ δὲ ἐγκαλύπτομαι· οὐδεὶς με τῶν ὅπλων
ἕνεκα τῶν Φιλίππου κρινεῖ· ἀλλὰ τῶν λόγων εἴ τι μὴ δέον εἴποιμι ἢ πράξαιμί τι
τῶν μὴ προστεταγμένων· πέρας δὲ τοῦ πράγματος ἐψηφίσαντο οἱ συμ-
πρέσβεις κατὰ ἕνα ἄνδρα ἐπερωτώμενοι ἕκαστος ἡμῶν· ὅ τι νομί-
ζοι συμφέρειν τοῦτο λέγειν· ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέ-
σβεις καὶ τὰς μαρτυρίας αὐτῶν λέγε. ἐπειδὴ τοίνυν

Μαρτυρία

ὦ ἄνδρες Ἀθηναῖοι συνελέχθησαν μὲν εἰς Πέλλαν αἱ πρεσβεῖαι· παρῆν
δὲ ὁ Φίλιππος καὶ τὸν Ἀθηναίων πρέσβεων ὁ κῆρυξ ἐκάλει, πρῶτον
μὲν παρῄειμεν οὐ καθ' ἡλικίαν ὥσπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ· ὃ
παρά τισιν εὐδοκίμει· καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο· ἀλλὰ
κατὰ τὴν τοῦ Δημοσθένους ἀναισχυντίαν· φάσκων γὰρ νεώτατος
εἶναι πάντων, τὴν τάξιν τοῦ πρῶτος λέγειν, οὐκ ἂν ἔφη παραλιπεῖν·
οὐδ' ἐπιτρέψειν τινί· αἰνιττόμενος εἰς ἐμὲ προκαταλαβόντος Φιλίπ-
που ὦτα, τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν· ἀρξάμενος δὲ τοῦ πρῶτος
λέγειν διαβολήν τινα ὑπεῖπε κατὰ τῶν συμπρέσβεων· ὡς οὐχ ἅ-
παντες ὑπὲρ τῶν αὐτῶν· οὐδ' ὅμοιοι ταῖς δόξαις ἥκομεν· διέξεισι τὰς

ὑπηρεσίας τὰς ὑπηρετημένας Φιλίππῳ αὐτοῦ· πρῶτον μὲν τὴν ἐν τῷ ψηφί-
ματι τοῦ Φιλοκράτους συνηγορεῖ, ὅτε ἔφευγε παρανόμων· ἐξεῖναι καὶ
Φιλίππῳ πρέσβεις πρὸς Ἀθηναίους ὑπὲρ εἰρήνης πέμπειν. δεύτερον
δὲ ὑπάγειν τὸ ψήφισμα ὃ ἔγραψεν αὐτὸς [illegible] σπείσασθαι τῷ κήρυ-
κι καὶ τῇ Φιλίππου πρεσβείᾳ· τὸ τρίτον τὸ περὶ βουλεύσασθαι τὸν δῆμον
ὑπὲρ εἰρήνης ἐν ταῖς ἡμέραις· καὶ προσέθηκέ τι τοιοῦτον ἐνθυμή-
ματι λόγῳ· ὅτι πρὸ τοῦ ἐπικομίσαι τὴν εἰρήνην ἐπελθόντας οὐ τοῖς λό-
γοις, ἀλλὰ τοῖς χρόνοις· ἔπειτα ἕτερον ἐπήγαγε τὸ ψήφισμα τὸ καὶ περὶ
συμμαχίας βουλεύσασθαι τὸν δῆμον· καὶ μετὰ ταῦτα ἤδη τὸ περὶ τῆς
προεδρίας τῆς εἰς τὰ Διονύσια τοῖς πρέσβεσι τοῦ Φιλίππου ψήφισμα·
καὶ προσέθηκε τὴν ἐπιμέλειαν τὴν ἐπ' αὐτοῦ· καὶ προσκεφαλαίων
θέσιν· καὶ πρὸς φυλακάς τινας καὶ ἀγρυπνίας διὰ τὸν φθόνον οὕτως
καὶ βουλομένους τὴν αὐτοῦ φιλοτιμίαν ὑβρίσαι· καὶ τὰ [illegible]
γελᾶν παντελῶς ἐφ' οἷς οἱ συμπρέσβεις αἰσχυνόμενοι ἐκαλύπτοντο ὡς ἐξένισε τοὺς
πρέσβεις τοῦ Φιλίππου· ὡς ἐμισθώσατο αὐτοῖς ὅτ' ἀπῄεσαν ὀρικὰ
ζεύγη καὶ συμπαρῆσαν οἱ πρέσβεις οὐ καταδύεσθαι τὸ σκότος ὥσπερ ἕ-
τερόν τινα· ἀλλὰ φανερῶς ἐπιδεικνύμενος τὴν τῶν πραγμάτων
θεραπείαν· ἔπειτα δὲ δὴ καὶ σφόδρα διώρθου τοῦτο· οὐκ εἶπον ὡς καλὸς
εἶ· γυνὴ γὰρ τοῦτο τῶν ἐστὶ κάλλιστον· οὐδ' ὡς δεινὸς συμπιεῖν σπογγιαῖς
οἶμαι τὸν ἔπαινον ὑπολαμβάνων τοῦτον εἶναι· οὐδ' ὡς μνημονικὸς
εἶ· σοφιστοῦ τὰ τοιαῦτα νομίζων ἐργολάβου τοῦτο ἐγκώμιον εἶναι·
ἵνα δὲ μὴ μακρολογῶ, τοιαῦτα ἦν ἃ ἔλεγε παρόντων τῶν πρέσ-
βεων· ὡς ἅπας ἀπεῖπεν ἐξ ἁπάσης τῆς ἀμαθίας· ἐφ' οἷς γέλωτα

οὐχ οἷοι ἦχον τοιοῦτοι ἐγίνοντο· ἐπειδὴ δέ ποτε ἐπαύσατο καὶ σιωπὴ ἐγένετο.
ἠναγκαζόμην ἐγὼ λέγειν μετὰ τὴν τοιαύτην ἀπαιδευσίαν καὶ ἀναισχυν-
τίαν καὶ πολλὴν ἀκαιρίαν αἰσχρὰν ὑπερβολήν· καὶ μικρὰ προειπὼν ἐξ
ἀνάγκης πρὸς τὴν προειρημένην ὑπὸ τούτου κατὰ τῶν συμπρεσβέων
διαβολήν· λέγων ὅτι πέμψειαν ἡμᾶς Ἀθηναῖοι πρέσβεις οὐκ ἀπο-
λογησομένους ἐν Μακεδονίᾳ περὶ ἡμῶν αὐτῶν· ἀλλ' οἷς ἐκ
τοῦ βίου δεδοκιμασμένους ἀξίους τῆς πόλεως εἶναι· βραχέα δ' εἰπὼν ὑπὲρ
τῶν ὅρκων περὶ ὧν ἥκομεν ἀποληψόμενοι καὶ περὶ τῶν
ἄλλων ὧν προσετάξατε ὑμεῖς διεξῆλθον· ὁ γὰρ περιττὸς καὶ δεινὸς
ἐν τοῖς λόγοις Δημοσθένης οὐδὲ περὶ τῶν ἀναγκαίων ἐμνήσθη·
καὶ δὴ καὶ περὶ τῆς ἐπὶ Πύλας στρατείας εἶπον· καὶ περὶ τῶν ἱερῶν
ἱερῶν· καὶ περὶ τῶν Δελφῶν· καὶ περὶ τῶν Ἀμφικτυόνων· καὶ μά-
λιστα μὲν Φίλιππον ἠξίουν· μὴ μεθ' ὅπλων, ἀλλὰ μετὰ ψήφου καὶ
κρίσεως τὰ ἐκεῖ καθιστάναι· εἰ δ' ἄρ' ἀδύνατον εἴη, τοῦτο δ' ἦν
πρόδηλον· τὸ γὰρ στρατόπεδον παρὸν καὶ συνειλεγμένον· εἶπον ὅτι τὸν
μέλλοντα ὑπὲρ ἑλληνικῶν ἱερῶν βουλεύεσθαι, πολλὴν προσήκει
πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν· καὶ τοῖς περὶ τῶν πρόσθεν ἐγχειροῦσι
διδάσκειν προσέχειν τὸν νοῦν· ἅμα δ' ἐξ ἀρχῆς διεξῆλθον τὴν κτί-
σιν τοῦ ἱεροῦ· καὶ τὴν πρώτην σύνοδον γενομένην τῶν Ἀμφικτυ-
όνων· καὶ τοὺς ὅρκους αὐτῶν ἀνέγνων· ἐν οἷς ἔνορκον ἦν τοῖς ἀρχαίοις
μηδεμίαν πόλιν τῶν Ἀμφικτυονίδων ἀνάστατον ποιήσειν· μηδ'
ὑδάτων ναματιαίων εἴρξειν· μήτ' ἐν πολέμῳ μήτ' ἐν εἰρήνῃ· ἐὰν δέ τις
ταῦτα παραβῇ, στρατεύειν ἐπὶ τοῦτον καὶ τὰς πόλεις ἀναστήσειν· καὶ ἐὰν

τὶς ἢ συλᾷ τὰ τοῦ θεοῦ ἢ συνειδείη τι ἢ βουλεύσειέ τι κατὰ τῶν ἐν τῷ ἱερῷ,
τιμωρήσειν καὶ ποδὶ καὶ χειρὶ καὶ φωνῇ καὶ πάσῃ δυνάμει· καὶ προσῆν
τῷ ὅρκῳ ἀρὰ ἰσχυρά· τούτων δὲ ἀναγνωσθέντων, ἀπεφηνάμην ὅτι μοι
δοκεῖ δίκαιον εἶναι μὴ περιορᾶν κατεσκαμμένας τὰς ἐν Βοιωτίᾳ πό-
λεις. ὅτι δὲ ἦσαν ἀμφικτυονίδες καὶ ἔνορκοι, κατηριθμησάμην ἔθνη
δώδεκα τὰ μετέχοντα τοῦ ἱεροῦ· Θετταλούς· Βοιωτούς· οὐ Θηβαίους
μόνους· Δωριέας· Ἴωνας· Περραιβούς· Μάγνητας· Λοκρούς· Οἰταίους·
Φθιώτας· Μαλιέας· Φωκεῖς· καὶ τούτων ἔδειξα ἕκαστον ἔθνος ἰσόψηφον
γινόμενον, τὸ μέγιστον τῷ ἐλαχίστῳ· τὸν ἥκοντα ἐκ Δωρίου καὶ Κυτινίου ἴσον
δυνάμενον Λακεδαιμονίοις· δύο γὰρ ψήφους ἕκαστον φέρει ἔθνος· πά-
λιν ἐκ τῶν Ἰώνων τὸν Ἐρετριέα καὶ Πριηνέα τοῖς Ἀθηναίοις· καὶ τοὺς
ἄλλους κατὰ ταὐτά· τὴν μὲν οὖν ἀρχὴν τῆς στρατείας ταύτης, ὁσίαν
καὶ δικαίαν ἀπεφηνάμην εἶναι· συλλεγέντων δὲ ἁπάντων τῶν Ἀμφι-
κτυόνων ἐς τὸ ἱερὸν καὶ τυχόντων ὁρίας· καὶ ψήφου, τοὺς αἰτίους τῆς ἐξ
ἀρχῆς καταλήψεως τοῦ ἱεροῦ δίκης ἠξίουν τυχεῖν· μὴ τὰς πατρίδας
αὐτῶν, ἀλλ᾽ αὐτοὺς τοὺς χειρουργήσαντας καὶ βουλεύσαντας· τὰς δὲ
πόλεις παρεχούσας ἐς κρίσιν τοὺς ἀδικήσαντας ἀζημίους εἶναι·
εἰ δὲ πλέον δυνάμει βεβαιώσετε τὰ Θηβαίων ἀδικήματα· παρ᾽ ὧν
μὲν βοηθεῖτε, οὐ κομιεῖσθε χάριν· οὐδὲ γὰρ ἂν δύναισθε αὐτοὺς τηλικαῦ-
τα εὐεργετῆσαι ἡλίκα Ἀθηναῖοι πρότερον, ὧν οὐ μέμνηνται· οὓς δὲ
ἐγκαταλείψετε ἀδικηθέντας, χρήσεσθε ἐχθροῖς μείζοσιν ἀντὶ φίλοις·
ἵνα δὲ μὴ διατρίβω τῷ ἐπαναγνῶναι τοὺς λόγους, νυνὶ πρὸς ὑμᾶς
ἀκριβῶς διεξιών, ἐν κεφαλαίῳ περὶ πάντων εἰπών, παύσομαι.

ἢ μὴ τύχῃ καὶ Φίλιππος, ἢ τούτων ἔργων κύριοι. ἐγὼ δὲ τῆς εἰς ὑμᾶς
εὐνοίας καὶ τῶν λόγων παρ' ἐμοῦ μὲν ἐρρέθη τὰ δίκαια καὶ τὰ συμ-
φέροντα ὑμῖν· ἀπέβη, οὐχ ὡς ἡμεῖς ηὐχόμεθα, ἀλλ' ὡς Φίλιππος
ἔπραξε. πότερον οὖν ὁ μηδὲν προθυμηθεὶς ἀγαθὸν ἐργάσασθαι δι-
καίως αἰτίαν ἔχοι, ἢ ὁ μηδὲν δυνατὸν ὧν ἐνέλειπον· ἐν δὲ τῷ τότε
γίνομαι πολλὰ διὰ τὸν καιρὸν παραλείπω· εἰ περιώσει χαλεπὸν λόγον.
φάσκων ὀλίγων ἡμερῶν τὰς Θήβας ἔσεσθαι ταπεινάς· καὶ τοὺς Βοιω-
// τοὺς ἐφόβουν· προάγων εἰς ἐλπίδας τινὰς ὑμᾶς. ὅπερ ποιεῖ κατα-
μάθετε, ὦ ἄνδρες Ἀθηναῖοι. ἐγὼ γὰρ παρὰ Φιλίππου μὲν ὥσπερ ἠξίωσα.
πρὸς δὲ ὑμᾶς ἐκεῖνον ἀπήγγειλα· ὅτι τὰς Θήβας Βοιωτίαν δίκαιον
ἡγούμενον εἶναι καὶ μὴ τὴν Βοιωτίαν Θήβας· τοῦτο οὐκ ἀπαγγεῖλαι
ἀλλ' ὑποσχέσθαι με φησίν· ἔλεγον δὲ πρὸς ὑμᾶς ὅτι καὶ Λεωχάρης ὁ
Χαλκιδεύς, θαυμάζειν ἡμῶν καὶ Φιλίππου φαίη τὴν ἐξαίφνης ὁ-
μόνοιαν· ὡς καὶ προτεταγμένου πράττειν ἡμῖν ἀγαθὸν ὅτι ἂν δυνώ-
μεθα ἐν τῷ ψηφίσματι· τοὺς γὰρ μὴ προπολίτας ὡς παρ' αὐτοὺς
φοβεῖν τὰ τῶν μειζόνων ἀπόρρητα· ταῦτ' οὖν διηγήσασθαί με φησὶν ἀλλ'
ἀπηγγέλθαι τῷ εἰδοίαν παραδώσειν· ἐγὼ δὲ ὑπὲρ ψηφίζεσθαι τῆς πό-
λιν τῶν ὑπὲρ τῶν ὅλων μελλόντων βουλεύσασθαι μηδένος λόγου ἀπ-
λῶς κεινοῦ αἴτιον εἶναι. διέβαλλε δὲ καὶ κατ' ὀνομα αἱρούμενος τὸν
λόγον ὡς ἀπαγγέλλειν τἀληθῆ βουλόμενος, ὑπ' ἐμοῦ καὶ Φιλοκρά-
τους κωλυθείη. ἐγὼ δ' ὑμᾶς ἡδέως ἂν ἐροίμην εἴ τις πώποτε Ἀθη-
ναίων πρεσβευτὴς ἐκπεμφθεὶς ἐφ' οἷς πρέσβεια κεκώλυται
πρὸς τὸν δῆμον ἀπαγγέλλειν· καὶ ταῦτα παθὼν καὶ ἀτιμασθεὶς ὑπὸ

τῶν οὖν πρέσβεων τούτους ἔγραψ' ἐπαινέσαι καὶ καλέσαι ἐπὶ δεῖπνον·
δημοσθένης τοίνυν ἥκων ἀπὸ τῆς ὑστέρας πρεσβείας ἐν ᾗ φασι τὰ τῶν
ἑλλήνων πράγματα ἀνατετράφθαι, οὐκ ἐν τῷ ψηφίσματι μόνον ἡμᾶς
ἐπῄνεσ, ἀλλ' ὡς ἀπαγγείλαντος πρὸς τὸν δῆμον ἐμοῦ τοὺς περὶ τῶν ἀμ-
φικτυόνων λόγους καὶ βοιωτῶν· οὐχ ὥσπερ νυνὶ συντέμνοντος· οὐδ'
ἐπιτεμνομένου, ἀλλ' ὡς ἠδυνάμην κατὰ ῥῆμα ἀκριβέστατα καὶ τοῦ
δήμου σφόδρα ἀποδεχομένου παρακληθεὶς ὑπ' ἐμοῦ μετὰ τῶν ἄλ-
λων συμπρέσβεων· καὶ διερωτώμενος εἰ τἀληθῆ καὶ ταὐτὰ ἀπαγγέλλ-
ω πρὸς ἀθηναίους ὥσπερ καὶ πρὸς φίλιππον εἶπον, πάντων μαρτυρούντων
καὶ ἐπαινούντων μετὰ τῶν συμπρέσβεων ἀναστὰς ἐπὶ πᾶσιν οὐκ
ἔφη με ὥσπερ ἐκεῖ εἶπον οὕτως ἐν τῷ παρόντι λέγειν· ἀλλ' ἐκεῖ δι-
πλασίως ἄμεινον· καὶ τούτων ὑμεῖς οἱ τὴν ψῆφον μέλλοντες φέρειν
ἐστέ μοι μάρτυρες· καίτοι τίς ἂν αὐτῷ κάλλιον καιρὸς ἐγένετο τοῦ
ἐξελέγχειν εἴ τι τότε τὴν πόλιν ἐξηπάτων· φὴς γάρ με ἐν μὲν τῇ προ-
τέρᾳ πρεσβείᾳ λαθεῖν σεαυτὸν συνωμότα ἐπὶ τὴν πόλιν· ἐν δὲ τῇ ὑστέ-
ρᾳ αἰσθέσθαι, ἐν ᾗ συναγορεύοντά μοι φαίνει· καὶ κείνης μὲν ἅμα κατηγορεῖν,
οὔ φῃς κατηγορεῖν· τὰ δ' ἐπὶ τοὺς ὅρκους κατηγορεῖς· καίτοι εἰ τὴν εἰρήνην
ψέγεις, σὺ καὶ τὴν συμμαχίαν ἔγραψας· καὶ ὁ φίλιππος εἴ τι τὴν πόλιν
ἐξηπάτα· διὰ τοῦτο ἐψεύδετο, ὅπως τῆς εἰρήνης ἧς συμφέρ' αὐτῷ
τύχοι· οὐκοῦν ἡ μὲν προτέρα πρεσβεία τὸν καιρὸν τοῦτον εἶχεν· ἡ δ' ὑστέ-
ρα, ἐπὶ πεπραγμένοις ἐγένετο· τίνες οὖν ἦσαν αἱ ἀπάται· ταῦτα γὰρ
γνῶτε τοῦτο ἐξ ὧν εἴρηκε λογίσασθε· εἰσπλεῖν με φησὶν ἐν μονοξύλῳ
πλοίῳ κατὰ τὸν λυδίαν ποταμὸν τῆς νυκτὸς ὡς φίλιππον· καὶ τὴν ἐπιστολὴν

∴ περὶ Τόνου. / περὶ τοῦ τόνου τῆς εὐθείας. ἀνωνύμου

f. παθῶν

Πόθεν τὸ ἦρος. λέγει ὁ ἡρωδιανὸς ἐν τῷ περὶ παθητικῶν ὅτι ἐστὶν ἦϊς διὰ τῆς .η̅. διφθόγγου κατὰ τὴν παραλήγουσαν. τούτου ἡ γενικὴ ἦϊος καὶ κατὰ κρᾶσιν τῶν δύο .ιι. εἰς ἓν μακρὸν γίνεται ἦρος, ὥσπερ θέτιι θέτι. Herodianus ἐν τῷ περὶ παθῶν

Πότε τὸ τίνος βαρύνεται καὶ πότε ὀξύνεται; τίνος τὸ πευστικὸν βαρύνεται. οἷον τίνος ἐστὶν ὁ ἦρος. τὸ δ' ἀνταποδοτικὸν ὀξύνεται οἷον τινὸς ἐστὶν ὁ οἶκος

Πότε ὦπος βαρύνεται καὶ πότε ὀξύνεται. τὸ ὦπος τὸ κύριον βαρύνεται. τὸ δ' ὠπὸς τὸ προσηγορικὸν ἐπὶ τοῦ ὀφθαλμοῦ ὀξύνεται

Διατί τὸ λᾶος περισπᾶται. ἐπειδὴ ἀπὸ τρισυλλάβου γενικῆς τῆς λάαος γέγονε. κατὰ συναίρεσιν παρακολουθησάσης τῶν δύο. αα. εἰς ἓν μακρὸν περισπᾶται.

Διατί τὸ κῆρος καὶ ἦρος περισπῶνται ἐπειδὴ ἀπὸ τοῦ κέαρ κέαρος γίνονται κατὰ συναίρεσιν ἤγουν κρᾶσιν τοῦ. ε. καὶ. α. εἰς. η. κῆρος καὶ ἦρος

Διατί τὸ ἦρος περισπᾶται; ἐπειδὴ ἐστὶν ἦϊς καὶ γίνεται ἡ γενικὴ ἦϊος ὡς ὄφιος προπαροξυτόνως καὶ κατὰ συναίρεσιν γίνεται ἦρος περισπωμένως οἷον τρώων ἱπποδάμων ἐξ ἰλίου ἦρος ἄποινα. ἦϊς

Διατί τὸ ἦρος ἔπαθε κατὰ τὴν γενικὴν συναίρεσιν καὶ οὐ κατὰ τὴν εὐθεῖαν. ἐπειδὴ οὐδέποτε μετὰ τῆς. η. διφθόγγου σύμφωνον εὑρίσκεται. οἷον μῆλα. ἦος. λοι Nota regula de diphthogo .η̄.

∴ f. τὴν .η̅. δίφθογγον

πὸν ἢ συνῃρέθη κατὰ τὴν εὐθεῖαν ἔμελλε μετὰ τῆς ιη. τὴν
η. σύμφωνον εὑρίσκεσθαι. καὶ διὰ τοῦτο οὐκ ἔπαθε συν-
αίρεσιν κατὰ τὴν εὐθεῖαν

## περὶ τομῆς τῆς γενικῆς τῶν ἐνικῶν

ὄιος Ζήτει τί τὸ ὄιος ὃ σημαίνει τὸ πρόβατον γενόμενον κατὰ συναίρεσιν ὄις ὀιὸς μὴ ἐβαρύνθη. δυνάμει γὰρ τρισύλλαβον ἐστι καθάπερ τὸ κήρεος καὶ ἦρος καὶ ἦος. ἐπειδὴ τὸ κῆρος ἦρος καὶ ἦος οὐ μόνον ἐν τῇ εὐθεῖα συναιροῦνται ἀλλὰ καὶ ἐν τῇ γενικῇ συναιροῦνται οἱ κέαρ κῆρ. ἔαρ ἦρ. κέαρος κῆρος. ἔαρος ἦρος. λοιπὸν ὡς δυνάμει τρισύλλαβα ἐν τῇ γενικῇ ἐβαρύνθησαν. τὸ δὲ ὄις ὀιὸς οὐκ ἐν τῇ γενικῇ συναιρέθη, ἀλλ᾽ ἐν τῇ εὐθεία μόνη ὄιον ὄις. ὄις καὶ λοιπὸν ἀπὸ τῆς συναιρουμένης εὐθείας ἐκλίθη ὀιός, καὶ ὡς μὴ οὖσα δυνάμει δισύλλαβος ἀλλὰ κυρίως ὠξύνθη. τοῦτο δὲ καὶ ἐπὶ ἄλλων εὑρίσκεται, φημὶ δὴ ἐν τῇ εὐθεία μόνη γινομένη συναίρεσις, ὡς

Ση ἐπὶ τοῦ φάος φῶς. καὶ ἄος ὦς. καὶ ἐκ τῆς συναιρουμένης εὐθείας ἐγένοντο αἱ γενικαὶ φωτὸς καὶ ὠτὸς καὶ ὠξύνθησαν

Ζήτει τὸ φρητὸς ὀξύνεται ἤπερ ἀπὸ τρισυλλάβου γενικῆς τοῦ φρέατος γινόμενον κατὰ

.. uidetur superfluere ω redundat ut τεος — L. ϛ. μνᾶ. de genitiuis n. loqtur. 

χράσιν. ἐπειδὴ συνηκολούθησε τῇ κρῦτος καὶ σητός, καὶ θυτός. γενικῇ. οὐς δέ ἐστιν ὁ σκώληξ. θὴς ὁ μίασθος. — σής θύς

Δ διατί τὸ δημοσθένεος προπαροξύνεται τὸ δὲ δημοσθένους παροξύνεται. ἐπειδὴ αἱ γενικαὶ συναιρούμεναι εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντάσει, περισπῶνται ἐν τῇ συναιρέσει. οἷον εὐσεβέος εὐσεβοῦς. , uidetur aliqd deesse.

Δ διατί τὸ μνᾶς περισπᾶται. ἐπειδὴ πᾶσα ἡ γενικὴ εἰς. σ. λήγουσα ἀποβολῇ τοῦ. σ. τὴν γενικὴν ποιοῦσα τὸν αὐτὸν τόνον τηρεῖ ἐπὶ τῆς γενικῆς οἷον λαγὼς λαγῶ. ἀλκινοῦς ἀλκινοῦ. — μνᾶ

Δ διατί τὸ πόλεως καὶ τὰ ὅμοια ἐκτείνουσι τὸ. ο. εἰς. ω. καὶ τὸν αὐτὸν τόνον φυλάττουσι, ἐπειδὴ πάντα τὰ ἐκτείνοντα τὸ. ο. εἰς. ω. παρὰ τοῖς ἀττικοῖς τόνον φυλάττουσιν ὅν τινα εἶχον, καὶ ἐπὶ τῆς ἐκτάσεως οἷον ἀτρέος ἀτρέως — πόλεως. ἀτρέος ἀτρέως

Δ περὶ τόνου τῆς δοτικῆς τῶν ἑνικῶν. περὶ δὲ τοῦ τόνου τῶν θετταλικῶν καὶ τῶν ἀττικῶν καὶ τῶν ἰωνικῶν εἴπομεν ἐν τῇ ἀρχῇ

χθὲι

Πόθεν τὸ χθὲϊ; ἀπὸ τοῦ χθέσονος χθέσονι καὶ ἐν
συγκοπῇ καὶ τροπῇ τῆς ε διφθόγγου εἰς η. χθὲϊ

ἰὸν
ἴου
ἰῶ

Πόθεν τὸ ἰῶ ἰσοσυλλαβοῦν τῇ γενικῇ καὶ τὸν
τόνον φυλάττει ἢ οὐ φυλάττει τὸν τόνον. ἰοῦ
θέλει ἡ εὐθεῖα ἀντὶ τοῦ μόνου καὶ ἡ γενικὴ
παροξυτόνως ἴου, ἡ δοτικὴ ἰῷ περισπωμένως.

Αἱ μεταπεπλασμέναι δοτικαὶ ποῖον τόνον
ἐπιδέχονται; αἱ μεταπεπλασμέναι δοτικαὶ
ὑπὲρ δύο συλλαβὰς εἰς ω λήγουσαι παρο-
ξύνεσθαι θέλουσι χωρὶς τῶν παρὰ τῶν εἰς ν
θηλυκῶν καὶ τῶν φύσει μακρᾷ παραληγομένων
οἷον ὁ πολυπάταγος τοῦ πολυπατάγου τῷ πολυ-
πατάγῳ παροξυτόνως. γίνεται δὲ κατὰ πλεο-
νασμὸν πολυπατάγῳ καὶ παροξύνεται. καὶ
πάλιν ἐὰν ὁ διχόμηνος, τῆς διχομήνου,
τῷ διχομήνῳ καὶ κατὰ πλεονασμὸν διχο-
μήνῳ. τοῦτο δὲ καὶ ἀπὸ τῆς διχομήνιος. διχο-
μήνιδος διχομήνιδι καὶ κατὰ συγκοπὴν δι-
χόμηνι. αἱ δὲ συγκοπτόμεναι ἀναβιβά-
ζουσι τὸν τόνον. οἷον ὀπίσθεν ὄπισθεν
ἐξαίρετος ἔξαιτος.

Regula pulcherrima. Nota

Αἱ εἰς ι ἐκφωνούμενον λήγουσαι δοτικαὶ
δισύλλαβοι ἐπ᾽ ὀνομάτων ὀξύνεσθαι θέλουσιν

π. cf. μεταπλασμὸν & sic
paulo post etiam corrigendū

χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου ἢ χαρακτῆρι ἀκολουθήσει. καὶ ἀπὸ συναιρέσεως μὲν οἷον κέαρ κῆρ. λάαι λᾶι. μάντιι μάντι. μήτιι. μῆτι. αὗται γὰρ ἀπὸ συναιρέσεως δισύλλαβοι εἰσί. πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου ἐπειδὴ τὸ τίνι βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ τινὶ ὀξυτόνως, τὸ μὲν γὰρ ἐρωτηματικὸν βαρύνεται, τὸ δὲ ἀνταποδοτικὸν ὀξύνεται. ἢ χαρακτῆρι ἀκολουθήσει ἐπειδὴ δεῖ φθάντος ὄνομα κύριον, καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν.

¶ πότε τῆς Τυνδάρεως εὐθείας ἡ δοτικὴ προξύνεται καὶ πότε προπαροξύνεται. τῆς Τυνδάρεος δὲ ὅτε ἡ γενικὴ διὰ τοῦ. ε. καὶ. ο. ἡ δοτικὴ παροξύνεται. οἷον Τυνδαρέου. Τυνδαρέῳ. ὅταν δὲ κλίνεται ἀττικῶς διὰ τοῦ. ε. καὶ. ω. οἷον Τυνδάρεως, τότε ἡ γενικὴ καὶ δοτικὴ ὁμοίως προπαροξύνεται οἷον τοῦ Τυνδάρεω, τῷ Τυνδάρεῳ, ὥσπερ τοῦ Μενέλεω, τῷ Μενέλεῳ. ¶ περὶ τὸν κ τῆς αἰτιατικῆς

Τυνδάρεος καὶ Τυνδάρεως in recto

¶ πότε δεῖ τὸ νίφαδα κλινόμενον κατὰ ἀποκοπὴν ποῖον τόνον ἐπιδέχεται; τὸ νίφαδα κλινόμενον κατὰ ἀποκοπὴν ἀναβιβάζει τὸν τόνον. οἷ δ᾽ ἀλευάμενοι νίφα λευκήν. ./.

π. ἑλ. νίφα

∴ ση. ὀξεῖαν ιστ

ση. μεταπλασμ

¶ πόθεν ἡ ψυχὴν αἰτιατικὴ γινομένη κατὰ πλεονασμὸν ποῖον τόνον ἐπιδέχεται; τὴν βαρεῖαν τάσιν οἷον ὡς παρὰ τῷ ποιητῇ. ψυχὰ δ' ἔτρεπε μώνυχας ἵππους. ἀντὶ τοῦ εἰς ψυχὴν τοὺς ἵππους ἔτρεψε, ὡς μὴ δυνάμενος ὀξυνθῆναι διὰ τὸν κανόνα τὸν λέγοντα. ὅτι πᾶσα αἰτιατικὴ τῶν ἑνικῶν εἰς α λήγουσα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν.

Cu. regulam

¶ διατί τὸ ἐρετρεᾶ καὶ στερεᾶ καὶ πτερεᾶ περισπῶνται. ἐπειδὴ ἀπὸ τοῦ ἐρετρέα καὶ πτερέα καὶ στερέα γίνεται κατὰ συναίρεσιν τοῦ ε καὶ α εἰς α μακρόν.

ἐρετρεᾶ
στερεᾶ
πτερεᾶ

¶ διατί τὸ θύγατρα προπαροξύνεται. ἐπειδὴ πᾶσα αἰτιατικὴ εἰς α λήγουσα ἔχουσα παροξυνομένην τὴν εὐθεῖαν προπαροξύνεται οἷον δημήτηρ δήμητρα. εἰ ἄρα δὲ ὡς ἡ θυγάτηρ εὐθεῖα παροξύνεται δηλονότι εὐλόγως ἡ θυγατέρα προπαροξύνεται καὶ ὅτι κατὰ συγκοπὴν γέγονε.

θύγατρα

δήμητρα



¶ διατί ἡ περισπωμένη οὔτε ἐπάνω βραχείας τίθεται οὔτε ἐπάνω θέσει μακρᾶς, ἀλλ' ἐπάνω φύσει μακρᾶς. ἐπειδὴ ἡ περισπωμένη διπλοῦς ἐστι τόνος. ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται ἐχο... ὡς δὴ ἐνθέντως ἐπάνω φύσει μακρᾶς τίθεται τῆς μακρᾶς διπλῆς οὔσης κατὰ τὸν χρόνον ἀπὸ δύο χρόνων σύγκειται. ἡ δὲ βραχεῖα ἀπὸ

Cur accentus circunflexus nō ponatur sup brevi neq: sup longa positione.

λείπει. videtur desiderari

Lege regulam in fine. 2ae. faciei chartae. 2ae

α cf. μικρῶν

□ cf. τόνων. ut patet ex paulo ante dictis

ἑνός. Τούτου χάριν ἐπάνω βραχείας οὐ τίθεται περισπωμένη· καὶ διὰ τί ἐπάνω θέσει μακρᾶς περισπωμένη οὐ τίθεται. ἐπειδὴ ἡ περισπωμένη ἐκ δύο □χρόνων σύγκειται τουτέστι ἀπὸ ὀξείας καὶ βαρείας. ∴ ἡ δὲ θέσει μακρὰ οὐκ ἐκ δύο χρόνων αμακρῶν συγκεῖται ἀλλ' ἐξ ἑνὸς ἡμίσου. Τούτου χάριν οὐ δύναται ἐπάνω θέσει μακρᾶς τίθεσθαι ἡ περισπωμένη.

Syllaba lōga positione unum tempus cum dimidio habet

οὖν αὖθις, ἂν ὀρθῶς βουλεύῃ, παρ' ἐμὲ τὸν Ἀρχέδημον· ὁ δὲ ἐμπορευσάμενος
ἥξει πάλιν· καὶ τοῦτο ἐὰν δὶς ἢ τρὶς ποιήσῃς καὶ βασανίσῃς τὰ παρ' ἐμοῦ
πεμφθέντα ἱκανῶς, θαυμάζοιμ' ἂν εἰ μὴ τὰ νῦν ἀπορούμενα
πολύ σοι διοίσει, ἢ τὰ νῦν. θαρροῦντες οὖν ποιεῖτε οὕτως· οὐ μὴν γάρ
ποτε τῆς ἐμπορίας ταύτης οὔτε σὺ στελεῖς, οὔτε Ἀρχέδημος ἐμπο-
ρεύσεται καλλίω καὶ θεοφιλεστέραν. εὐλαβοῦ μέντοι μή ποτε ἐκπέσῃ
ταῦτα εἰς ἀνθρώπους ἀπαιδεύτους· σχεδὸν γάρ, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἔστι
τούτων πρὸς τοὺς πολλοὺς καταγελαστότερα τε καὶ ἐνθουσιαστικώτερα.
πολλάκις δὲ λεγόμενα καὶ ἀεὶ ἀκουόμενα καὶ πολλὰ ἔτη, μόγις ὥσπερ χρυσὸς
ἐκκαθαίρεται μετὰ πολλῆς πραγματείας. ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγον',
ἄκουσον. εἰσὶ γὰρ ἄνδρες ταῦτα ἀκηκοότες καὶ πλείους, δυνατοὶ μὲν
μαθεῖν, δυνατοὶ δὲ μνημονεῦσαι καὶ βασανίσαντες πάντῃ πάντως
κρῖναι, γέροντες ἤδη καὶ οὐκ ἐλάττω τριάκοντα ἐτῶν ἀκηκοότες,
οἳ νῦν ἄρτι σφίσι φασί, τὰ μὲν τότε ἀπιστότατα δόξαντα εἶναι, νῦν
πιστότατα καὶ ἐναργέστατα φαίνεσθαι, ἃ δὲ τότε πιστότατα, νῦν τοὐν-
αντίον. πρὸς ταῦτ' οὖν σκοπῶν, εὐλαβοῦ μή ποτέ σοι μεταμελήσῃ
τῶν νῦν ἀναξίως ἐκπεσόντων. μεγίστη δὲ φυλακὴ τὸ μὴ γράφειν,
ἀλλ' ἐκμανθάνειν· οὐ γὰρ ἔστι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν. διὰ
ταῦτα οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα· οὐδ' ἔστι σύγγραμ-
μα Πλάτωνος οὐδέν, οὐδ' ἔσται· τὰ δὲ νῦν λεγόμενα, Σωκράτους ἐστὶ
καλοῦ καὶ νέου γεγονότος. ἔρρωσο καὶ πείθου· καὶ τὴν ἐπιστολὴν ταύτην
νῦν πρῶτον πολλάκις ἀναγνοὺς, κατάκαυσον. ταῦτα μὲν ταύτῃ.
περὶ δὲ Πολυξένου ἐθαύμασας, ὅτι οὐ πέμπω σοι· ἐγὼ δὲ

καὶ περὶ λυκόφρονος καὶ τῶν ἄλλων τῶν παρὰ σοὶ ὄντων, λέγω καὶ πάλαι
καὶ νῦν τὸν αὐτὸν λόγον· ὅτι πρὸς τὸ διαλεχθῆναι καὶ φύσει καὶ τῇ μεθόδῳ
τῶν λόγων, πάμπολυ διαφέρεις αὐτῶν· καὶ οὐδεὶς αὐτῶν ἑκὼν ἐξε-
λέγχεται, ὥς τινες ὑπολαμβάνουσιν· ἀλλ' ἄκοντες. Καὶ δοκεῖς μέντοι
πάνυ μετρίως κεχρῆσθαί τε αὐτοῖς καὶ δεδωρῆσθαι. Ταῦτα μὲν περὶ
τούτων· πολλὰ ὡς περὶ τοιούτων. φιλιστίωνι δέ, εἰ μὲν αὐτὸς χρῇ, σφό-
δρα χρῶ· εἰ δὲ οἷόν τε, σπευσίππῳ χρῆσον καὶ ἀπόπεμψον. δεῖται σπευσίππῳ
δέ σου καὶ σπεύσιππος. ὑπέσχετο δέ μοι καὶ φιλιστίων, εἰ σὺ ἀφείης αὐτόν,
ἥξειν προθύμως ἀθήναζε. τὸν ἐκ λιθοτομιῶν εὖ ἐποίησας ἀφείς· ἐλα-
φρὰ δὲ ἡ δέησις· καὶ περὶ τῶν οἰκετῶν αὐτοῦ· καὶ περὶ ἡγησίππου τοῦ
ἀρίστωνος· ἐπέστειλας γάρ μοι, ἄν τις ἀδικῇ ἢ τοῦτον ἢ ἐκείνους· καὶ
σὺ αἴσθῃ, μὴ ἐπιτρέψειν. καὶ περὶ λυσικλείδου τἀληθὲς εἰπεῖν ἄξιον·
μόνος γὰρ τῶν ἐκ σικελίας ἀθήναζε ἀφικομένων οὐδὲν μετεβάλετο
περὶ τῆς σῆς καὶ ἐμῆς συνουσίας· ἀλλ' ἀεί τι ἀγαθὸν καὶ ἐπὶ τὰ βελτίω λέ-
γων περὶ τῶν γεγονότων διατελεῖ:-

## Πλάτων Δίωνι συρρακουσίῳ εὖ πράττειν

ΟΙΜΑΙ μὲν φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν
περὶ τὰς συμβεβηκυίας πράξεις· καὶ πολλὴν εἶχον περὶ αὐτῶν σπου-
δὴν εἰς τὸ συνδιαπερανθῆναι· οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον, ἢ τῆς ἐπὶ
τοῖς καλοῖς φιλοτιμίας· νομίζω γὰρ δίκαιον εἶναι τοὺς ὄντας τῇ
ἀληθείᾳ ἐπιεικεῖς καὶ πράττοντας τοιαῦτα, τυγχάνειν δόξης τῆς προση-
κούσης· τὰ μὲν οὖν εἰς τὸ νῦν σὺν θεῷ εὖ ἔχει καλῶς· τὰ δὲ
περὶ τῶν μελλόντων, ὁ μέγιστός ἐστιν ἀγών· ἀνδρείᾳ μὲν γὰρ καὶ
τάχει καὶ ῥώμῃ διενεγκεῖν δόξειεν ἂν καὶ ἑτέρων εἶναί τινων· ἀληθείᾳ
δὲ καὶ δικαιοσύνῃ καὶ μεγαλοπρεπείᾳ καὶ τῇ περὶ ταῦτα πάντα εὐ-
σχημοσύνῃ, ξυμφαίη τις ἂν τοὺς ἀντιποιουμένους τὰ τοιαῦτα
τιμᾶν, εἰκότως τῶν ἄλλων διαφέρειν· νῦν οὖν δῆλον μέν ἐστιν ὃ
λέγω· ἀναμιμνήσκειν δ' ὅμως δεῖ ἡμᾶς αὐτούς, ὅτι προσήκει πλεῖν
ἢ παίδων τῶν ἄλλων ἀνθρώπων διαφέρειν· τοὺς οἴεσθαι δή που. φανε-
ροὺς οὖν δεῖ ἡμᾶς γενέσθαι, ὅτι ἐσμὲν τοιοῦτοι, οἵους προφαμέν·

ἄλλως τε καὶ ἐπειδὴ σὺν θεῷ εἰπεῖν, ῥᾴδιον εἶναι· τοῖς μὲν γὰρ ἄλλοις συμ-
βέβηκεν ἀναγκαῖον εἶναι πλανηθεῖσι πολὺν τόπον, εἰ μέλλοιεν γνω-
σθῆναι· τὸ δὲ νῦν ὑπάρχον περὶ σέ, τοιοῦτόν ἐστιν ὥστε τοὺς ἐξ ἁπάσης
τῆς οἰκουμένης, εἰ καὶ νεανικώτερόν ἐστιν εἰπεῖν, εἰς ἕνα τόπον ἀπο-
βλέπειν· καὶ ἐν τούτῳ μάλιστα πρὸς σέ· ὡς οὖν ὑπὸ πάντων ὁρώμενος,
παρασκευάζου τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον ἀποδείξων καὶ τὸν
Κῦρον· καὶ εἴ τις ἄλλος πώποτε ἔδοξεν ἤθει καὶ πολιτείᾳ διενεγκεῖν· ἄλλως τε
καὶ ἐπειδὴ πολλοὶ καὶ σχεδὸν ἅπαντες οἱ τῇδε λέγουσιν, ὡς πολλή ἐστιν
ἐλπὶς ἀναιρεθέντος Διονυσίου διαφθαρῆναι τὰ πράγματα διὰ
τὴν σήν τε καὶ Ἡρακλείδου καὶ Θεοδότου καὶ τῶν ἄλλων γνωρίμων φιλοτιμίαν.
μάλιστα μὲν οὖν μηδεὶς εἴη τοιοῦτος· ἐὰν δ' ἄρα καὶ γίγνηταί τις, σὺ φαί-
νου ἰατρεύων καὶ πρὸς τὸ βέλτιστον ἔλθοιτ' ἄν· ταῦτα δ' ἴσως γελοῖον
σοι φαίνεται εἶναι· τὸ ἐμὲ λέγειν, διότι καὶ αὐτὸς οὐκ ἀγνοεῖς· ἐγὼ δὲ
καὶ ἐν τοῖς θεάτροις ὁρῶ τοὺς ἀγωνιστὰς ὑπὸ τῶν παίδων παροξυνομένους,
μή τι δὴ ὑπό γε τῶν φίλων, οὓς ἄν τις οἴηται μετὰ σπουδῆς κατ' εὔ-
νοιαν παρακελεύεσθαι· νῦν οὖν αὐτοί τε ἀγωνίζεσθε καὶ ἡμῖν εἴ του
δεῖ ἐπιστέλλετε· τἀνθάδε παραπλησίως ἔχει, καθάπερ ὑμῶν πα-
ρόντων· ἐπιστέλλετε δὲ καὶ ὅτι πέπρακται ὑμῖν ἢ πράττοντες τυγχά-
νετε· ὡς ἡμεῖς πολλὰ ἀκούοντες οὐδὲν ἴσμεν· καὶ νῦν ἐπιστολαὶ πα-
ρὰ μὲν Θεοδότου καὶ Ἡρακλείδου ἥκουσιν εἰς Λακεδαίμονα καὶ Αἴγιναν·
ἡμεῖς δὲ καθάπερ εἴρηται πολλὰ ἀκούοντες περὶ τῶν τῇδε, οὐδὲν
ἴσμεν· ἐνθυμοῦ δὲ καὶ ὅτι δοκεῖς τισὶν ἐνδεεστέρως τοῦ προσήκοντος
θεραπευτικὸς εἶναι· μὴ οὖν λανθανέτω σε, ὅτι διὰ τοῦ ἀρέσκειν
τοῖς ἀνθρώποις, καὶ τὸ πράττειν ἐστίν· ἡ δ' αὐθάδεια ἐρημίᾳ σύνοικος. εὐτύχει:–

## Πλάτων Περδίκκᾳ εὖ πράττειν

Εὐφραίῳ μὲν συνεβούλευσα, καθάπερ ἐπέστελλες, τῶν σῶν ἐπιμελούμε-
νον περὶ ταῦτα διατρίβειν· δίκαιος δ' εἰμὶ καὶ σοὶ ξενικήν τε καὶ ἱερὰν
ξυμβουλὴν λεγομένην, συμβουλεύειν· περί τε τῶν ἄλλων ὧν ἂν φρά-
ζῃς, καὶ ὡς Εὐφραίῳ δεῖ τανῦν χρῆσθαι· πολλὰ μὲν γὰρ ὁ ἀνὴρ χρή-
σιμος· μέγιστον δέ, οὗ καὶ σὺ νῦν ἐνδεὴς εἶ· διά τε τὴν ἡλικίαν καὶ διὰ

τὸ μὴ πολλοῖς αὐτοῦ περὶ ξυμβούλοις εἶναι τοῖς νέοις. ἔστι γὰρ δή τις φωνὴ τῶν πολιτειῶν ἑκάστης καθαπερεί τινων ζώων, ἄλλη μὲν δημοκρατίας, ἄλλη δ' ὀλιγαρχίας, ἡ δ' αὖ μοναρχίας. ταύτας φαῖμεν μὲν ἂν ἐπίστασθαι πάμπολλοι· πλεῖστον δ' ἀπολείπονται τοῦ κατανοεῖν αὐτάς, πλὴν ὀλίγων δή τινων. ἥτις μὲν ἂν οὖν τῶν πολιτειῶν τὴν αὐτῆς φθέγγηται φωνὴν πρός τε θεοὺς καὶ πρὸς ἀνθρώπους καὶ τῇ φωνῇ τὰς πράξεις ἑπομένας ἀποδιδῷ, θάλλει τε ἀεὶ καὶ σώζεται· μιμουμένη δ' ἄλλην φθείρεται. πρὸς ταῦτ' οὖν ἀφαῖος σοι γίγνοιτο, οὐχ ἥκιστα ἂν χρήσιμος καίπερ καὶ πρὸς ἄλλα ὢν ἀνδρεῖος. τοὺς γὰρ τῆς μοναρχίας λόγους, οὐχ ἥκιστα αὐτὸν ἐλπίζω ξυνεξευρήσειν τῶν περὶ τὴν σὴν διατριβὴν ὄντων. εἰς ταῦτ' οὖν αὐτῷ χρώμενος, ὀνήσει τε αὐτός, καὶ ἐκεῖνον πλεῖστα ὠφελήσεις. ἐὰν δέ τις ἀκούσας ταῦτα εἴπῃ, Πλάτων ὡς ἔοικε προσποιεῖται μὲν τὰ δημοκρατίᾳ ξυμφέροντα εἰδέναι, ἐξὸν δ' ἐν τῷ δήμῳ λέγειν καὶ ξυμβουλεύειν αὐτῷ τὰ βέλτιστα, οὐπώποτε ἀναστὰς ἐφθέγξατο; πρὸς ταῦτ' εἰπεῖν ὅτι Πλάτων ὀψὲ ἐν τῇ πατρίδι γέγονεν. καὶ τὸν δῆμον κατέλαβεν ἤδη πρεσβύτερον καὶ εἰθισμένον ὑπὸ τῶν ἔμπροσθεν πολλὰ καὶ ἀνόμοια τῇ ἐκείνου ξυμβουλῇ πράττειν. ἐπεὶ πάντων ἂν ἥδιστα καθαπερεὶ πατρὶ συνεβούλευεν αὐτῷ. εἰ μὴ μάτην μὲν κινδυνεύσειν ᾤετο· πλέον δ' οὐδὲν ποιήσειν. ταὐτὸν δ' οἶμαι δρᾶσαι ἂν καὶ τὴν ἐμὴν ξυμβουλήν. εἰ γὰρ δόξαιμεν ἀνιάτως ἔχειν, πολλὰ ἂν χαίρειν ἡμῖν εἰπών, ἐκτὸς ἂν γίγνοιτο τῆς περὶ ἐμὲ καὶ τὰ ἐμὰ ξυμβουλῆς. εὐτύχει.

## Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν

Ἀφίκοντο πρὸς ἡμᾶς οἱ περὶ Ἄρχιππον καὶ Φιλωνίδην, τήν τε ἐπιστολὴν φέροντες, ἣν σὺ αὐτοῖς ἔδωκας καὶ ἀπαγγέλλοντες τὰ παρὰ σοῦ. τὰ μὲν οὖν πρὸς τὴν πόλιν, οὐ χαλεπῶς διεπράξαντο· καὶ γὰρ οὐδὲ παντελῶς ἦν φορτώδη. τὰ δὲ παρὰ σοῦ διῆλθον ἡμῖν λέγοντες ὑποδυσφορεῖς, ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν ἥδιστόν ἐστιν ἐν τῷ βίῳ 17

τὸ τὰ αὑτοῦ πράττειν, ἄλλως τε καὶ ὅτε τις ἕλοιτο τοιαῦτα πράττειν,
οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον· ἀλλὰ κἀκεῖνο δεῖ σε ἐνθυμεῖ-
σθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν· ἀλλὰ τῆς γενέ-
σεως ἡμῶν· τὸ μέν τι ἡ πατρὶς μερίζεται· τὸ δέ τι οἱ γεννήσαντες·
τὸ δὲ, οἱ λοιποὶ φίλοι· πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν
βίον ἡμῶν καταλαμβάνουσι· καλούσης δὲ τῆς πατρίδος αὐτῆς
πρὸς τὰ κοινά, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν· ἅμα γὰρ ξυμβαίνει
καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς
τὰ κοινὰ προσέρχονται· περὶ τούτων μὲν οὖν, ἱκανῶς· Ἐχεκρά-
τους δὲ καὶ νῦν ἐπιμέλειαν ἔχομεν· καὶ ἐς τὸν λοιπὸν χρόνον ἕξομεν
καὶ διὰ σέ, καὶ διὰ τὸν πατέρα αὐτοῦ Φρυνίωνα· καὶ δι᾽ αὐτὸν τὸν νεανίσκον :+

## Πλάτων Ἀριστοδώρῳ εὖ πράττειν :+

Ἀκούω Δίωνός σε ἐν τοῖς μάλιστα ἑταῖρον· εἶναί τε νῦν καὶ γεγονέναι
διὰ παντὸς τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον·
τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ ὑγιές, τοῦτο ἐγώ φημι εἶναι, τὴν ἀληθινὴν
φιλοσοφίαν· τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας, σοφίας τε καὶ δεινό-
τητας, κομψότητας οἶμαι προσαγορεύων, ὀρθῶς ὀνομάζειν· ἀλλ᾽ ἔρ-
ρωσό τε καὶ μένε ἐν τοῖς ἤθεσιν, οἷσπερ καὶ νῦν μένεις :+

## Λύσις Ἱππάρχῳ :+

Μετὰ τὸ Πυθαγόραν ἐξ ἀνθρώπων γενέσθαι, οὐδέποκα διασκεδασθήσεσθαι
τὸ ἄθροισμα τῶν ὁμιλητῶν ἐς τὸν ἐμαυτοῦ θυμὸν ἐβαλόμαν·
ἐπεὶ δὲ παρ᾽ ἐλπίδας, ὥσπερ ἀπὸ ναὸς μεγάλας φροντίδος ἐν ἐρήμῳ
πελάγει διαλυθείσας, ἄλλος ἄλλᾳ φορούμενοι διεσπάρημεν, ὅσιον
κἠμὲ μνάσασθαι, τῶν θείων καὶ σεμνῶν παραγγελμάτων· μηδὲ
κοινὰ ποιεῖσθαι τὰ σοφίας ἀγαθὰ τοῖς μηδ᾽ ὄναρ τὰν ψυχὰν κεκα-
θαρμένοις· οὐ γὰρ θέμις ὀρέγειν τοῖς ἀπαντῶσι τὰ μετὰ τοσούτων
ἀγώνων πορισθέντα· οὐδὲ γὰρ βεβάλοις τὰ ταῖν Ἐλευσινίαιν θεαῖν μυ-
στήρια διηγεῖσθαι· κατ᾽ ἰσότητα δ᾽ ἄδικοι, καὶ ἀσεβέες ἑκάτεροι οἱ ταῦτα
πράξαντες· Καλὸν δ᾽ ἀναλογίζεσθαι ὅσον χρόνον μᾶκος διαταδόμες

ἐκμετρήσαντες· ἀπορρυπτόμενοι σπίλους τοὺς ἐν τοῖς στάθεσιν ἁμῶν
ἐγκεκολαμμένους· ἕως ποκὰ διελθόντων ἐτέων· ἐγενόμεθα δεκτικοὶ
τῶν τήνου λόγων· καθάπερ γὰρ οἱ βαφεῖς προεκκαθάραντες ἔστυ-
ψαν τὰ βάψιμα τῶν ἱματίων, ὅπως ἀνέκπλυτον τὰν βαφὰν ἀνα-
πίωντι, καὶ μηδέποκα γενησομέναν ἐξίταλον, τὸν αὐτὸν τρόπον ὁ δαι-
μόνιος ἀνὴρ παρεσκεύαζε τοὺς φιλοσοφίας ἐρασθέντας, ὅπως μὴ
διαψευσθῇ περί τινα τῶν ἐλπιζομένων ἔσεσθαι καλῶν κἀγαθῶν·
οὐ γὰρ κιβδήλοις ἐνεπορεύετο λόγοις· οὐδὲ πάγαις· ἃς πολλοὶ τῶν σο-
φιστῶν τὼς νέως ἐμπλέκοντι· ποτ' οὐδὲν χρήσιμον σχολάζοντες· ἀλλὰ
θεῶν τε καὶ ἀνθρώπων πραγμάτων ἦν ἐπιστάμων· οἱ δὲ προσχήματα ποιη-
σάμενοι τὰν τήνου διδασκαλίαν πολλὰ καὶ δεινὰ δρῶντι· σαγηνεύοντες
οὐ κατὰ κόσμον· οὐδ' ὡς ἔτυχε τοὺς νέους· τοιγαροῦν χαλεπούς τε
καὶ προπετέας ἀπεργάζονται τοὺς ἀκούοντας· ἐγκιρνάντι γὰρ ἤθεσι τεταρα-
γμένοις τε καὶ θολεροῖς· θεωρήματα καὶ λόγους καθαρούς· καθάπερ
εἴ τις ἐς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέοι καθαρὸν καὶ διειδὲς ὕδωρ·
τόν τε γὰρ βόρβορον ἐτάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν· ὁ αὐτὸς δὲ τρόπος
τῶν οὕτως διδασκόντων τε καὶ διδασκομένων· πυκιναὶ γὰρ καὶ δασεῖαι
λόχμαι περὶ τὰς φρένας καὶ τὴν καρδίαν πεφύκαντι τῶν μὴ
καθαρῶς ὀργιασθέντων· πᾶν τὸ ἅμερον καὶ πρᾶον καὶ λογιστικὸν ἐπι-
σκιάζοισαι, καὶ κωλύοισαι προφανῆ μὲν αὐξηθέν· ἐγκαταδεδύκαντι
δὲ τῷ δάσει τούτῳ παντοῖαι κακότατες ἐμβοσκόμεναι καὶ κωλύοισαι
καὶ μηδαμῶς ἐῶσαι προκύψαι τὸν λόγον· ὀνομάξαι μὲν δὲ πρῶτον
ἐπελθὼν αὐτῶν τὰς ματέρας· ἀκρασίην τε καὶ πλεονεξίην· ἄμφω
δὲ πολύγονοι πεφύκαντι· τᾶς μὲν ὦν ἀκρασίας ἐξεβλάστασαν
ἀθέσμιοι γάμοι, καὶ μέθαι καὶ φθοραὶ καὶ παρὰ φύσιν ἁδοναί· καὶ σφο-
δραί τινες ὁρμαὶ μέχρι θανάτων καὶ κρημνῶν ἐκδιώκοισαι· ἤδη
γάρ τινας ἀνέκαξαν ἐπιθυμίαι, μήτε ματέρων μήτε θυγατέρων
ἀποσχέσθαι· καὶ δὴ παρωσάμεναι νόμον καὶ πατρίδα καὶ πόλιν· καὶ
τύραννον ἐκπεριαγαγοῖσαι τὼς ἀγκῶνας ὡς αἰχμαλώτους ἐπὶ
τὸν ἔσχατον ὄλεθρον μετὰ βίας ἄγοισαι κατέστασαν· τᾶς δὲ
πλεονεξίας ἐκπεφύκαντι ἁρπαγαί τε καὶ πατροκτονίαι ἱερο-

ουλίαι· φαρμακεῖαι· καὶ ὅσα τούτων ἀδελφά. Δεῖ δ' ὦν, τό γε
πρᾶτον τὰς ὕλας ταῖς ἐνδιαιτῆται ταῦτα τὰ πάθη· πυρί τε καὶ σιδά-
ρῳ καὶ πάσαις μαχαναῖς ἐκκαθάραντα· καὶ ῥυσάμενον τὸν λογισμὸν
ἐλεύθερον τῶν τοσούτων παθέων τότη ἤδη φυτεύεν τι χρηστὸν
αὐτῷ παραδιδόμεν· ἅπερ ἔμαθες μὲν, Ἵππαρχε, μετὰ σπουδᾶς,
οὐκ ἐφύλαξας δ', ὦ γενναῖε, γευσάμενος σικελικᾶς πολυτελείας· ἇς οὐ
χρεώ τοι γενέσθαι δεύτερον. Λέγοντι δὲ καὶ πολλοὶ τὺ δαμοσίᾳ φιλοσοφεῖν,
ὅπερ ἀπαξιώσε Πυθαγόρας· ὃς παρακαταθέμενος Δαμοῖ τᾷ αὐτοῦ θυγατρὶ τὰ
ὑπομνήματα, ἐπέσκαψεν μηδενὶ τῶν ἐκτὸς τᾶς
οἰκίας παραδιδόμεν· ἃ δὲ δυναμένα πολλῶν χρημάτων ἀποδό-
σθαι τὼς λόγως, οὐκ ἐβουλήθη· πενίαν δὲ καὶ τὰς τῶ πατρὸς ἐπισκάψιας
ἐνόμιζε χρυσοῦ τιμιωτέρας ἦμεν. Φαντὶ δὲ, ὅτι καὶ ἁ Δαμὼ θνα-
σκοῖσα, Βιστάλᾳ τᾷ ἑαυτᾶς θυγατρὶ, τὰν αὐτὰν ἐπιτολὰν ἐπέ-
τειλεν. ἀμὲς δ' ἄνδρες ἐόντες καὶ Πυθαγόρα φοιτηταὶ, οὐ γνησίως
αὐτῷ ποτιφερόμεθα· ἀλλὰ παραβάται τᾶν ὁμολογιᾶν γινόμεθα.
Εἰ μὲν οὖν μεταβάλλοιο, χαρήσομαι· εἰ δὲ μὴ, τέθνακάς μοι:

Ἐπιστολαὶ Χίωνος:

Χίων Ματρίδι χαίρειν.

Ἀπέδωκέ μοι Λύσις τὴν ἐπιστολὴν τρίτην ἡμέραν ἤδη ἐν
Βυζαντίῳ διατρίβοντι· δι' ἧς τὴν σαυτοῦ συγχώρησιν καὶ πάσης τῆς
οἰκίας ἐδήλωσάς μοι. ἄλλος μὲν οὖν ὅσοις ἔνεστι παραμυθήσασθαι,
ταῦτα διεξήει· καὶ τὰς ἐκ τῆς ἀποδημίας ἐλπίδας ἐξηριθμεῖτο·
ἐν ταύταις ἐπ' ἀντίρροπον λύπης εὐφροσύνην καθίστατο. ἐγὼ δὲ,
τοῦτο αὐτὸ ἀξιῶ παρ' ὑμῶν γενέσθαι, ὅπως ἆθλον μοι τῆς εἰκοτιζομένης
ἀρετῆς καταστήσητε, τὸ μακαρίους ὑμᾶς ποιῆσαι γονεῖς. ἀλλὰ
μὴ τὸ παραμυθίαν ἐκ τῆς ἐμῆς παιδείας προσδέχεσθαι, μὴ λυπου-
μένοις διὰ τὴν ἀτυχίαν· ἀλλ' ἐμοὶ δ' ὥσπερ ἀθλοφόρῳ μείζονά μοι προθεῖναι
τὰ ἆθλα· ἵνα κρατίων ἐπ' αὐτὰ ἀγωνιστὴς γένωμαι. οὕτως οὖν διακεῖσθαι,

ὦ πάτερ· καὶ παραμυθοῦ τὴν μητέρα· εἰ γὰρ ἄρα ἐκείνην μὲν
ἐν τοῖς παρηγορουμένοις· σὲ δ' ἐν τοῖς παρηγοροῦσι, τετάχθαι προσήκει:—

## Τῷ αὐτῷ

Θράσων ἐμπορία ἔσται μὲν τοῦ πλούτου χρηστοῦ μᾶλλον, ἢ κατὰ
τὴν ἐπιτήδευσιν εἶναί μοι δοκεῖ. Καὶ νῦν ἐν Βυζαντίῳ γενόμενος,
ἔσχε τινὰ αὐτῷ χάριν. θεάσασθαι γάρ μοι βουλομένῳ τὰ περὶ
χώραν ἄξια θέας ὄντα, ἡγεμὼν τῆς ὁδοῦ ἐγένετο· ~~καὶ~~ καὶ τἆλλα
ἐπεμελήθη. ὅπως μὴ πονηρά τις ἡμῖν ἡ ὁδὸς καὶ κοινὴ γ᾽ ἐστὶ κἂν γέ-
νοιτο. ἀλλὰ ὀχημάτων τε χάριν καὶ τῆς ἄλλης παρασκευῆς ἧς ἁβρο-
τέρα τοῦτον ὡς ἡμᾶς πλέοντα ᾠήθην ταύτῃ τῇ μαρτυρίᾳ συμπα-
ραπέμψαι δεῖν. ἵνα ἀντιτύχῃ τῶν αὐτῶν. θέας μὲν οὖν, οὐδὲν
οἶμαι χρῄζει. κατεστρατευμένος ἐκ πολλοῦ χρόνου τοῦ πόντου. εἰς
δὲ τὴν οἰκίαν δῆλον ὡς κατὰ τὸ σὸν αὐτοῦ ἔθος ὑποδέξῃ προθύμως
αὐτόν. ἐγὼ δὲ ὥρμημαι μὲν ἐκ πολλοῦ. ἀνέμου δέ, οὐκ ἐπιτυγχάνω:—

## Τῷ αὐτῷ

Πολλὴν χάριν οἶδα τοῖς ἐπισχοῦσιν ἡμᾶς ἀνέμοις· καὶ τὴν ἐν Βυζαν-
τίῳ διατριβὴν βιασαμένοις. Καίτοι τὸ πρῶτον ἠχθόμην αὐτοῖς
ἐπαγόμενος. ἀλλὰ γὰρ ἀξία πρόφασις καὶ χρονιωτέρας μονῆς ἐφά-
νη Ξενοφῶν ὁ Σωκράτους γνώριμος. οὗτος γὰρ ὁ Ξενοφῶν, ὅτε τῶν
ἐπ' Ἀρταξέρξην στρατευσαμένων Ἑλλήνων, Κύρῳ δέ, συμμαχούντων ἦν·
καὶ τὸ μὲν πρῶτον μετά τινος τῶν στρατηγῶν ἦν, οὐδὲν πολυπρα-
γμονῶν. ὅτι μὴ στρατιώτην ἐχρῆν· καίπερ εἷς ὢν τῶν Κύρῳ τιμίων·
ὡς δὲ Κῦρός τε ἀπέθανεν ἐν τῇ πρώτῃ μάχῃ, καὶ οἱ στρατηγοὶ τῶν Ἑλ-
λήνων παρασπονδηθέντες, ἀπετμήθησαν τὰς κεφαλάς, ᾑρέθη
στρατηγὸς ἀνδρείας τε ἕνεκα καὶ τῆς ἄλλης σοφίας δοκῶν ἄριστα ἂν
διαπράξασθαι τὴν σωτηρίαν τοῖς Ἕλλησι· καὶ οὐκ ἐψεύσθησαν αὐτοὶ
τῆς ἐλπίδος. ἀλλὰ διὰ μέσης πολεμίας γῆς ὀλίγην στρατιὰν ἄγων
διεσώσατο. ἑκάστης ἡμέρας τοῖς βασιλέως στρατηγοῖς παρα-
ταττόμενος. θαυμαστὰ μὲν γὰρ οὖν καὶ ταῦτα. πολὺ δὲ

τούτων θαυμασιώτερόν τε καὶ μεῖζον, ὅπερ αὐτὸς ἐγὼ νῦν ἐθεασάμην.
πεπονηκότες γὰρ οἱ Ἕλληνες πολυχρονίῳ καὶ χαλεπῇ στρατείᾳ, καὶ μηδὲν
ἄλλο ἀρνύμενοι τῶν κινδύνων ἆθλον, πλὴν τῆς σωτηρίας δεξαμένων αὐτοὺς
κατὰ φόβον Βυζαντίων, ἔγνωσαν διαρπάσαι τὴν πόλιν. καὶ πολὺς
τάραχος αἰφνιδίως κατέσχε τοὺς Βυζαντίους. ἐπεὶ δὲ ὡπλίζοντό τε οἱ ξένοι
σαλπιγκτής. καὶ σαλπιγκτὴς ἐσήμαινεν, ἐγὼ μὲν ἀσπίδα καὶ λόγχην ἁρπάσας, ἔδρα-
μον ἐπὶ τὸ τεῖχος. οὗ καὶ τῶν ἐφήβων τινὰς συνεστηκότας ἑώρων. ἦν δὲ
ἡ φυλακὴ τῶν τειχῶν, οὐδὲν ὠφέλιμος, πολεμίων κατεχόντων τὴν
πόλιν. ἀλλ' ὅμως ῥᾷον ἐνομίζομεν ἀμύνασθαι πλεονεκτοῦντες
τῷ τόπῳ. ἢ ἀπολέσθαι γε βραδύτερον. κἀν τούτῳ ταραττομένων
τῶν Ἑλλήνων, ἑωρῶμεν καὶ μὴν τὸν ἄνδρα καλὸν πάνυ καὶ πρᾶον ἰδέσθαι
διεξιόντα δι' αὐτῶν καὶ παύοντα τῆς ὀργῆς ἕκαστον. οὗτος δὲ ἦν ὁ Ξε-
νοφῶν. ὡς δὲ ἐκ τῶν ἐναντίων παρεκάλουν αὐτὸν οἱ στρατιῶται ἕνα
ὄντα πολλοῖς πείθεσθαι καὶ ἀναπαῦσαι ποτὲ αὐτοὺς τῆς ταλαιπωρίας
καὶ χαλεπῆς ἄλλης. ἀναβάντες οὖν ἐπὶ πόδα ἔφη καὶ βουλεύσασθαι.
ὃ γὰρ δέος μὴ διαφύγοι, ἢ βουλομένοις τὸ πρᾶγμα ἐφ' ἡμῖν κείμενον.
ὡς δὲ τοῦτό γε αὐτὸ ἀπαθὲν ᾐδέσθησαν, εἰς μέσον καταστὰς ὁ Ξενοφῶν,
θαυμαστοῖς λόγοις διέθετο, ὥστε τὸ τέλος αὐτῶν ἐδήλωσεν. οὐ γὰρ ἡμῖν
γε σαφῶς ἐξηκούοντο. τοὺς γοῦν πρὸ μικροῦ διαρπάζειν ἐγνωκότας
τὴν πόλιν μετρίους κατὰ τὴν ἀγορὰν ἑωρῶμεν, ὠνουμένους τὰ ἐπι-
τήδεια ὡς τῶν ἄλλων Βυζαντίων ἕκαστον. καὶ μηδὲν ἔτι ἐκείνου τοῦ
ἀδίκου καὶ ἁρπακτοῦ ἄρεως πνεούσας. αὕτη δὲ ἡ ὄψις ἐπίδειξις ἦν
τῆς Ξενοφῶντος ψυχῆς, ὅπως καὶ φρονεῖν καὶ λέγειν ἐδύνατο. οὐ μὴν ἐγώ γε
ἡσυχίᾳ τὸν ἄνδρα παρελθεῖν ὑπέμεινα. καὶ ταῦτα ὁμοίως Βυζαντίοις
ἀπεπονθὼς ὑπ' αὐτοῦ. ἐπεὶ δὲ δία τοῖς ἀνέμοις, καὶ αὐτὸς εἷς ἦν τῶν διαρ-
παγησομένων. ἀλλ' ἐγνώρισα αὐτῷ ἐμαυτόν. ὁ δέ, καὶ τῆς σῆς πρὸς
Σωκράτην φιλίας ἀνεμιμνήσκετο, κἀμὲ φιλοσοφεῖν παρίστατο.
καὶ τἄλλα οὐ στρατιωτικῶς μάλα, ἀλλὰ καὶ πάνυ φιλανθρώπως
διελέγετο. νῦν δὲ εἰς Θρᾴκην ἄγει τὸ στράτευμα. Σεύθης γὰρ ὁ τῶν Θρᾳκῶν
βασιλεὺς πρός τινας ὁμόρους πολεμῶν, μετεπέμψατο ἐν τιμῇ
μισθὸν αὐτοῖς ὑπισχνούμενος. οἱ δὲ ὑπήκουσαν. οὐ γὰρ ἄποροι

διαλυθῆναι βούλονται· ἀλλὰ καὶ κτήσασθαί τι ἐκ τῶν πόνων· ἕως δὲ
ἔτι στρατευόμενος ἦν· ἐπειδὴ πολυμενῶν προθυμότερον εἰς Ἀθήνας
πλεύσεσθαι φιλοσοφήσαντα· μέμνησαι γὰρ δήπου ὅτι παρέτρεπ-
μες σπουδαίως ἐπὶ φιλοσοφίαν καὶ θαυμάσια δ' ἐξηγοῦ περὶ τῶν κατ' ὁ-
ποίων σπουδασάντων περὶ αὐτὴν μέρος, τὰ ἄλλα μέν, εἶχες πειθόμενον·
ἐκεῖνο δὲ καὶ πάνυ φοβούμενον· ἐδόκει γάρ μοι τὰ λοιπὰ ὄντως σπουδαι-
ότερους ποιεῖν ὅσων ἐφάψαιτο· καὶ γὰρ τὸ σῶφρον καὶ τὸ δίκαιον οὐκ
ἄλλοθεν ἀρύεσθαι τοὺς ἀγροίκους, ἢ φιλοσοφίας ᾤμην· τὸ δὲ πρακτικὸν
καὶ σφοδρὸν ἀλύειν τῆς ψυχῆς καὶ μαλθάσσειν ἐπὶ τὸ ἥσυχον· ἀπορραθυμη-
σεῖν γὰρ εἶναι καὶ ἠρεμίας τὰ θαυμαστὰ ὥς μοι ἔλεγες ἐγκώμια φιλο-
σόφων· δ' ἀνὴρ νῦν μοι κατεφάνης ὁ φιλοσοφήσας· τἆλλα μὲν ἀμεί-
νων ἔσομαι, θαρραλέος δὲ οὐκέτι· οὔτε στρατιώτης εἶναι δυνήσομαι, οὔτε
ἀριστεὺς εἰ δέοι· ἀλλὰ μεθήσω ταῦτα πάντα ὥσπερ ἐστὶ λῆρος κενῷ τινὶ
ἔσω δή· παντὸς ἔργου λαμπροτέρου κηληθεὶς τῇ φιλοσοφίᾳ· ἠγνόεις
δ' ἄρα ὅτι καὶ πρὸς ἀνδρείαν εἰσὶν ἀμείνους οἱ φιλοσοφήσαντες· καὶ μάλιστα δὲ
αὐτὸ παρὰ Ξενοφῶντος ἔμαθον· οὐκ ἐπειδὴ διειλέχθη μοι περὶ αὐτοῦ,
ἀλλ' ἐπεὶ τοιοῦτος ὢν ἐφάνη ὁποῖος ἐστί· μάλιστα γὰρ δὴ μετασχὼν
τῶν Σωκράτους λόγων, ἀρκεῖ καὶ στρατεύματα καὶ πόλεις σώζειν· καὶ
οὐδὲν αὐτὸν ἐποίησε φιλοσοφία αὐτῷ τε καὶ τοῖς φίλοις ἀχρειότερον·
ἡσυχίας μὲν οὖν, ποιητικώτερα τάχα εὐδαιμονίας· ἤδη μέντοι καὶ
πρᾶξαι καλῶς ἐκεῖνα, ὁ καλῶς ἠρεμεῖν δυνάμενος· ἔστι καὶ μείζων
ἂν εἴη τοῦ πολεμιστοῦ, ὅσος ὁ πλεονεξίαν καὶ ἐπιθυμίαν· καὶ τὰ ἄλλα
πάθη χειρούμενος ὧν καὶ οἱ νικῶντες τοὺς πολεμίους ἡττῶνται· κἀγὼ
δὲ ἐλπίζω φιλοσοφήσας, τά τε ἄλλα κρείττων ἔσεσθαι, καὶ οὐχ ἧττον
ἀνδρεῖος ἀλλ' ἧττον θρασύς· ταῦτα μὲν οὖν οὐ τοῦ ἱκανουμένου, ἀλλὰ
καὶ τοῦ πάνυ πολλοῦ πόρρω, γίνωσκε δέ με ἤδη πρὸς τὸ πολὺ ὄντα·
καὶ γὰρ δὴ ἡ γένοιτο καὶ τὰ τῶν ἀνέμων αἰσιώτερα :—

Τῷ αὐτῷ

πιτυχόντες τῶν περὶ σῆμον κατ' ἐμπορίαν ὡς ὑμᾶς πλεόντων, ἐγνώ-
μεν καὶ τὰ περὶ Ἰνθω συντυχοῦντα ἡμῖν δηλῶσαι· ἕω μὲν γὰρ ζεφύρου
ἀποβιάζουσι· κἀγὼ προὔλεγον τοῖς σὺν ἡμῖν ναύταις, ἐπ' εἶχε τὸν ἔκπλουν·

καὶ ταῦτα ἐν Βυζαντίῳ διατρίβειν δυναμένοις· οἱ δ' οὐκ ἐπείθοντο· ἀλλὰ καὶ παρόντες τὴν πρόρρησιν ἐχλεύασαν· προσβεβλῆσθαί μοι νόσον τινὰ ἀστρονομίας ὑπὸ Ἀρχεδήμου τοῦ ἀστρονόμου λέγοντες· κἀγὼ μέχρι μέν τινος, ἀντεῖχον· καταναυμαχούμενος δ' ὑπ' αὐτῶν ἧξα· καὶ ταῦτα οὐδὲ αὐτὸς εὖ εἰδὼς ὅτι ἀληθὲς αὐτοῖς προλέγοιμι· ἅμα δὲ καὶ πνεῦμα οὔριον καὶ καλὸς πλοῦς προφαινόμενος, ἀπιστότερον ἐποίει τὰ προηγορευμένα· ὡς δ' ἀνήχθημεν ἕως μὲν Σηλυμβρίαν παραλλάξαι, κατεβιώσαμεν ἐφόδοις πρόσφορον· ἀρχόμενοι γε καὶ μέχρι τῆς ἀποβάσεως ἐλάσασθαι· ὡς δὲ τριάκοντά που σταδίοις ἀπ' αὐτῆς προεκόψαμεν, δεινὸς ἡμᾶς χειμὼν κατέλαβε. καὶ πολὺν μὲν χρόνον οὐδαμοῦ καθορμίσαι τὴν ναῦν δυνάμενοι, πονηρῶς πάνυ διεκείμεθα· μόλις δέ ποτε ἀπιδόντες τὴν Πέρινθον ἐβιαζόμεθα πρὸς αὐτήν· κωπηλάται ἀγαθοὶ γενόμενοι· τοῖς μὲν γὰρ ἱστίοις, οὐ φορητὸς ἦν ὁ ἄνεμος· καὶ δεινὰ παθόντες ἵνα μὴ λέγω τὰ μεταξύ, μέσων που νυκτῶν κατήχθημεν ἐς Πέρινθον· καὶ τότε μὲν κατεδάρθομεν· ἐπεγένετο δ' ἡμῖν καὶ ἕτερος χειμών, οὐδὲν τοῦ θαλαττίου μετριώτερος· Περίνθιοι γὰρ ὑπὸ Θρᾳκῶν ἐπολεμοῦντο· καὶ τοῦτο δὲ οἱ πάντες ἀγνοήσαντες ἧκεν, οὐκ ἐπυθόμεθα· καίπερ δώδεκα ἡμέραις ἐν Βυζαντίῳ διατρίψαντες· ἀλλ' ὡς ἧκε αἰφνίδιος ἡ καταδρομὴ τῶν βαρβάρων ἐγένετο· ἀναστάντες ὅπου ἐξῄειμεν, ὁρμώμενοι τὴν πόλιν ὡς ᾠόμεθα ἐγώ τε καὶ Ἡρακλείδης καὶ Ἀγάθων ὁ χρηστός· εἵποντο δὲ ἡμῖν καὶ τῶν θεραπόντων, Βαίτυλος καὶ Ποδάρκης· καὶ Φίλων ὁ θρασύς· ἦμεν δὲ μέν, ἄνοπλοι· τῶν δὲ θεραπόντων παρήρτητο ἑκάστῳ μάχαιρα· Φίλων μὲν γὰρ καὶ δόρυ ἐκόμιζε· μικρὸν δὲ προελθόντες ἀπὸ τοῦ λιμένος, ὁρῶμεν στρατόπεδόν τε, οὐ πρόσω τῆς πόλεως· καὶ τὸ δεινότερον ἱππέας τρεῖς· οὐ πόρρω ἡμῶν· καὶ Φίλων μὲν δούς μοι τὴν λόγχην ἵν' αὐτὸς ᾖ δρομικώτερος, ἐπὶ τὴν ναῦν ἔφυγε· ἐγὼ δὲ οὐκ ἐθίζων ὠκύτερον ἵππου ἐμαυτὸν εἶναι, περὶ τὸν βραχίονα ἑλίξας θοἰμάτιον καὶ τὴν λόγχην διηγκυλωμένος, ἔμενον· τὸ αὐτὸ δὲ καὶ ἐποίουν καὶ οἱ θεράποντες· Ἡρακλείδης δὲ καὶ Ἀγάθων λίθους ἔχοντες, ὄπισθεν ἡμῶν ἐκρύπτοντο· προσελάσαντες δὲ οἱ Θρᾷκες πρὶν ἐς ἐφικτὸν ἐλθεῖν, ἠκόντισαν τρεῖς λόγχας ἕκαστος· καὶ αἱ μέν, μικρὸν πρὸ ἡμῶν

ἔπαισαν· οἱ δ' ἀναστρέψαντες ὡς δὴ πεπληγμένου αὐτοῖς τοῦ ὄχλου ἤλαυ-
νον ἐς τὸ στρατόπεδον· ἀμυνόμενοι δ' ἡμεῖς ταῖς λόγχαις, ἀνεχωρήσαμεν
ἐπὶ τὴν ναῦν, καὶ λύσαντες τὰ ἀπόγεια, ἐπλέομεν· νῦν δ' ἐν Χίῳ
ἐσμέν, πάνυ ἐπιτηδείως τῶν ἀνέμων ἡμῖν περὶ πάντα τὸν πλοῦν χρη-
σαμένων. λέγει οὖν Ἀρχέδημος, ὅτι ἐρίφων ἐπιτολία δύσις, οὐ κατὰ
θάλατταν μόνον σημαίνει χαλεποὺς χειμῶνας· ἀλλὰ καὶ κατὰ
γῆν χαλεπωτέροις. ἔχεις γὰρ ἐκ τῆς ἡμετέρας συντυχίας παῖξαι
πρὸς αὐτόν.

## Τῷ αὐτῷ

Ἀφίγμεθα ἐς Ἀθήνας καὶ Πλάτωνι τῷ Σωκράτους γνωρίμῳ διαλε-
γόμεθα· τἄλλα τε γὰρ πάντας σοφὸς ἀνήρ, ἔτι καὶ τὴν φιλοσοφίαν
οὐκ ἀπολείπεται τοῦ ἔργῳ τοῖς γνωρίμοις ποιεῖν· ἀλλὰ καὶ πάνυ ἀμφήκει
πρός τε τὸ πρακτικὸν τοῦ βίου καὶ πρὸς ἡσυχίαν ἀποφαινόμενα· ἔγρα-
φες δέ μοι καὶ περὶ τῆς πρὸς αὐτὸν φιλίας, ὅτι οὐ μικρὸν πλεονέ-
κτημα τὴν πρὸς Σωκράτην συνουσίαν ἠσθῆσθαι ἐς αὐτὸν ἔχοιμι. ἴσθι
οὖν, ὅτι πάντων μὲν ποιεῖται λόγον, καὶ τῶν μετὰ ἡμέραν ὁμιλη-
σάντων Σωκράτει· οὐδενὶ δ' οὕτως αὐτὸν οἰκεῖοι, ὡς τῷ μάλιστα ἀπο-
λαύειν αὐτοῦ δυναμένῳ. Καὶ κατὰ τοῦτο γοῦν ἐσπουδάκαμεν,
μὴ μειονεκτεῖν τῆς Πλάτωνος φιλίας· ἀλλ' ἐν τούτοις τετάχθαι
ὑφ' ὧν ἀπαρχὴν φησί, ὅτι αὐτὸς ἀπονίνασθαι δύναται· οὐ γὰρ ἧττονα
εὐδαιμονίαν εἶναι λέγει τὸ ἀγαθοὺς ποιεῖν, τοῦ ἀγαθὸν γίνεσθαι. Τὸ
μὲν οὖν ὠφελεῖσθαι τοῖς δυναμένοις τῶν φίλων, αὐτὸς παρέχει.
Τὸ δ' ὠφελεῖν οὐχ ἧττον λαμβάνει παρὰ τῶν ὠφελεῖσθαι δυναμένων.

## Τῷ αὐτῷ

Ἐκομισάμην φαιδίμους ταρίχου ῥοδίων καὶ μέλιτος ἀμφορέας πέντε
καὶ τοῦ μεσσίτου οἴνου κεράμια ὀκτώ· καὶ πρὸς τούτοις, τρία ἀρ-
γυρίου τάλαντα. καὶ τῆς μὲν πίστεως ἐκεῖνον ἐπαινῶ· τῆς δὲ
ἐπιμελείας, σέ. ἐπιγινώσκω ἤδη μέντοι τῶν ἐπιχωρίων γενημά-
των ἀπαρχάς τινας, βουλοίμην ἄν σε ἀποστέλλειν, ἂν ἐπιτρέπῃ
ὁ καιρός· τούτοις γὰρ καὶ τοῖς ἄλλοις φίλοις τέρπεσθαι ἔνεστι καὶ Πλάτωνα

σοφίζεσθαι ἀδωροδόκητον ὄντα χρημάτων· οὐδὲ εἰς ἐμέ γε πόθος καὶ μάλιστα ἐν Ἀθήναις τε ὄντι καὶ Πλάτωνι διαλεγομένῳ. ἐστὶ καὶ ἄτοπ ἴσως πεπλευκέναι μὲν ἡμᾶς εἰς τὴν Ἑλλάδα, ἵνα ἧττον φιλοχρήματοι γινώμεθα· μηδὲν δ' ἧττον καὶ ἐκ πόντου πλεῖν πρὸς ἡμᾶς τὴν φιλοχρημοσύνην· χαριέστερον δ' ἂν ποιήσαις ταῦτα πέμπων ὅσα τῆς σπερίδος ἡμᾶς, οὐχ ὅσα πλούτου ἀναμνήσει :

Ξφ αἰσχ

Ἀρχέπολις Λήμνιος μὲν ἐστὶ ὡς λέγεται τὸ γένος· φαῦλος δὲ καὶ ἀτέκμαρτος ἄνθρωπος καὶ στασιαστὴς πρὸς πάντας· μάλιστα δὲ πάντων πρὸς ἑαυτόν· οὗτος δὲ τοῦτο καὶ λελυμένος τὴν ἀποπληξίαν· καὶ πᾶν ὅ,τι ἂν οἰηθείη λέγων· νοεῖ δ' ἀεὶ τὰ μωρότατα. οὗτος τὸ μὲν πρῶτον, ὡς πυνθάνομαι, ταμίας τε ἐν Λήμνῳ γενόμενος καὶ τὰς ὁμοίας μετιὼν ἀρχάς, οὐκ εὐπρεπῶς ἀνεστρέφετο. ὡς δὲ ἔδοξεν αὐτῷ καταφοιτῆσαι καὶ φιλοσοφίας, εἰς Ἀθήνας κατέπλευσε· κἀκεῖ πολλὰ μὲν Πλάτωνι δυσηρέστησε· πολλὰ δ' ἡμᾶς ἐβλασφήμησεν· οὐδὲν γὰρ αὐτῷ χρήσιμοι ἐφαινόμεθα περὶ ἀρετῆς ἀλλ' οὐ περὶ χρηματισμοῦ τὰς διαλέξεις ποιούμενοι. νῦν δὲ καὶ εἰς τὸν πόντον ἐμπορεύεσθαι φησὶν οὐκ ἀφρόνως. εἰ δὴ τοῦτο μόνον ἑαυτῷ προσήκειν λελόγισται, ἀλλὰ τὸ ἀσχέμητον αὐτοῦ καὶ ἄστομον οὐδὲ ταύτην ἐπιδείξεται τὴν φρόνησιν· ἵνα ὅς τε ἐστὶν ἤδη καὶ ἐς ὃ χρήσιμος· πρὸς γὰρ τὸ εὖ φανταζόμενον μετεωρίζεται. οὗτος ἐπιλαθόμενος τῶν βλασφημιῶν, προσῆλθέ μοι καὶ ἐδεήθη σοι γράψαι περὶ αὐτοῦ. ἐγὼ δὲ ἐκείνῳ μὲν ἵνα μὴ ἀναξίῳ ὄντι Βελλεροφόντου σχῆμα περιθῶ, ἐπεὶ γὰρ ἐπιστολὴν ἔδωκα· οὐδὲ ἐκεῖ τι ὁμοίως ψευσάμενος. ταύτην δὲ παραναγνωσομένῳ λυσιτελὲς ἐνεχθεῖσα· οἶμαι δὲ ἡ πᾶσα φιλανθρωπία δοξάσθαι σε δι' αὐτὸν ἄνθρωπον καὶ ἀποδείξει τινὰ ὅτι οὕτως ἀμείβεται χείρων τοὺς βλασφημήσαντας. τοῦτο γὰρ ἓν ἐστὶ τῶν μαθημάτων αὐτοῦ, ἃ σὺ ἐχλεύαζες· τὸ μηδένα κακῶς ἀμείβεσθαι μέχρι τοῦ μὴ αὐτὸν ἀγαθὸν εἶναι. τοῦτο δ' ἔσται ἐὰν εὐποιΐαις αὐτοὺς ἀμειβώμεθα. οἶδα μὲν οὖν ὅτι οὐδὲν πείσεται ἄτρωτος ὢν τὴν ψυχὴν ὑπὸ μωρίας· ὅμως δ' οὖν ἡμῶν αὐτῷ χάριν, γενέσθω τοῦτο τὸ πολίτευμα· τὰ δὲ περὶ αὐτοῦ λελυμένως καὶ ἀπροκαλύπτως

ἐδήλωσα· πρὸς ἄλλον μὲν οὐδένα πώποτε βλασφημήσας τοῦτον οὔτε
οὐδένα· πρὸς σὲ δὲ τοῦ ἐμοῦ νοῦ ὑπὸ μηδενὸς παρακατεχόμενον
λόγου, ἁπλοῦν καὶ σαφῆ δίκαιον εἶναι: —

Τῷ αὐτῷ:

Ἀποδίδωσί σοι τὸ γράμμα Ἀρχέπολις ὁ Λήμνιος· ἐμπορευόμενος
ἐς τὸν Πόντον, ἐδεήθη μου ὅπως αὐτὸν συστήσαιμί σοι· ἐγὼ δὲ ἀσμένως
ἐδεξάμην· καὶ γὰρ οὐδὲ φίλος μοι ὢν ἐτύγχανε· κέρδος οὖν μέγα
ᾠήθην ἀφορμὴν λαβεῖν τοῦ ποιῆσαί τινα φίλον μὴ ὄντα πρότερον.
Εἰς ὃ κέρδος συλλήψῃ μοι καὶ σὺ φιλανθρώπως αὐτὸν ἀποδεξάμενος·
πείθομαι δὲ καὶ μέτριον αὐτὸν ἔμπορον εἶναι· καὶ γὰρ φιλοσοφήσας πρό-
τερον, εἶτα ἐμπορεύεται: —

Χίων Βίωνι χαίρειν

Ὀλιγωρίαν μὲν σοῦ τοσαύτην περὶ ἐμέ, οὐκ ἂν ἤλπισα ἔσεσθαι· οὔτε
ἐβουλόμην προσδέξασθαι· θαυμάζω δὲ τὴν συντυχίαν, δι' ἣν οὐδὲν
πέως ἧκέ μοι παρὰ σοῦ γράμμα· καὶ ταῦτα συνεχῶς γραφόντων μοι
τῶν ἄλλων φίλων· ὑπὲρ μὲν οὖν τῶν γενομένων, ἐγὼ αὐτὸς ὑπὲρ σοῦ
ἀπολογήσομαι· τὸ δὲ λοιπὸν οἵτε οἱ μὴ ἀποδιδόντες αἴτιοι γε-
γόνασι, φύλαξαι τοῦτο τὸ συνεχῶς γράφειν· οὕτως γὰρ καὶ τῶν
ἀποδωσόντων ἐπιτεύξῃ· εἰ δὲ σὺ μὴ γράφων, φύλαξαι καὶ τοῦτο.
ῥᾳδία δέ ἐστιν ἡ αὐτοῦ φυλακή· καίτοι γε ἐάν τι ἐν τῇ ἡμετέρᾳ φιλίᾳ
τοσοῦτον, ὅσον καὶ τὰ δι' ἰσχὺν ῥήμη νικᾶν δύνασθαι· ἢ ἐπιλέλησαι
τοῦ Ἡραίου καὶ τοῦ Καλλιχόρου καὶ τῶν παρὰ Καλλισθένει διατριβῶν
καὶ ὅσοις ἄλλοις τὰς ἑαυτῶν ψυχὰς ἐκεράσαμεν, ἢ αὐτὸς μὲν
οὐκ ἐπιλέλησαι, ἐμὲ δὲ φιλοσοφίας γευσάμενον, ἀμνημονεῖν
αὐτῶν ὑπολαμβάνεις· δῆλον οὐ προσήκει σοι οὔτε ἑαυτῶν φαῦλα
ἔχειν περὶ τὴν φιλίαν, οὔτε περὶ ἐμοῦ φαῦλα εἰκάζειν· ἀλλὰ
καὶ ὡς μεμνημένον αὐτῆς, καὶ ὡς μεμνημένῳ, γράφειν συνεχέ-
στερον: —

Χίων Ματρίδι

Πλάτωνι ἀδελφιδοῦ θυγατέρες εἰσὶ τέσσαρες· τούτων τὴν πρε-
σβυτάτην ἐδίδου Σπευσίππῳ πρὸς γάμον καὶ μετ' αὐτῆς προῖκα
τριάκοντα μνᾶς· πέπομφε δ' αὐτῷ ταύτας Διονύσιος· ἐγὼ οὖν

ἀσπαστὸν ἡγησάμενος τὸν καιρὸν, τάλαντον προστίθημι τῇ προικί· καὶ
μέχρι μὲν πολλοῦ, ἠναίνετο· ἐξεπολιόρκησα μὲν δ' αὐτὸν πάνυ ἀλη-
θεῖ τε δικαίῳ λόγῳ· ἔφαμεν γὰρ ὅτι οὐκ ἐς πλοῦτον, ἐς δὲ φιλίαν σοι
συμβαλλόμεθα· τὰς δὲ τοιαύτας δωρεὰς δέχεσθαι δεῖ· αὗται γὰρ
τιμὴν χαρίζουσιν· αἱ δὲ ἄλλαι ἀτιμάζουσιν· τιμᾶς μὲν οὖν φιλανθρωπίαν·
ἀτιμάζεις δὲ πλοῦτον· ἥρμοσται δὲ καὶ τὰς ἄλλας παῖδας ἤδη τοῖς
χαριεστάτοις Ἀθήνησιν· ἀλλ' οἱ μὲν, πλουτοῦσι· σὺ δ' ὅπως δὲ χαρι-
έστερος ὤν, πένεται· τοσοῦτον τὸ κέρδος φημὶ δὴ κλαῦσαι σοι, οὐ μὲν
ἡμῖν, οὐκ οἶδ' ὅτι προσγενέσθαι ἐν παντὶ τῷ βίῳ δυνήσεται: —

## Τῷ αὐτῷ:

Καὶ πόθῳ ... παρὰ Διάνορος τὴν ἐπιστολὴν ἐν ἡμέρᾳ ἀναγκάζεσθαι
παρακαλεῖς· ἱκανὸν γὰρ εἶναι πρὸς τὴν τηνικαῦτα ἀποδημίαν πέντε
ἐτῶν χρόνον· ἐκ τούτου δὲ τὴν ἐπὶ ξενιτείαν ἔρχεσθαι· ἐπειδὲ, ὅσος με
πόθος ἔχει ὑμῶν καὶ τῆς πατρίδος, αὐτοὶ σαφῶς ἴστε· ἔοικε δ' οὖν
αὐτὸς οὗτος ὁ πόθος βιάζεσθαί με πλείω χρόνον διατρίβειν Ἀθήνησιν.
ὀψιμαθέστερος γὰρ εἶναι οἷς συμπαθῶ βούλομαι· τοῦτο δὲ τὸ κράτος
μόνη ἔχει φιλοσοφία· πανταέτης δὲ χρόνος ὦ πάτερ οὐχ ὅπως
φιλοσοφοῦσιν ἀπαρκεῖν ἔμοιγε φαίνεται, ἀλλ' οὐδὲ τοῖς ἐμπορευομένοις
ἐπιμελεστέρου· καίτοι γε οἱ μὲν, ἐπὶ τὰ ἀτελέστατα στέλλονται· ἡμεῖς δὲ
ἀρετὴν ἐμπορευόμεθα, οὐδενὸς ἄλλου, πλὴν φύσεως καὶ φιλοπονίας
καὶ χρόνου δέοντες· ὧν ἃ μὲν, οὐ παντελῶς ἡμῶν ἀπολείπεται· χρόνου
πενταετί[αι] · μέντοι δεόμεθα· διατρίψαντες οὖν ἄλλην πενταετίαν, ἀναστρέ-
ψομεν θεοῦ γε σώζοντος· σὺ δὲ, ὦ λογιώτατε ἐκπέμπων ἡμᾶς ὑπέ-
μεινας, τοῦτο χρὴ καὶ χρονιζόντων ἡμῶν ἀνέχεσθαι· καὶ ταῦτ' εἰδότα, ὡς
οὐχὶ τὸ ἐκπλεῦσαι ἐπὶ παιδείαν ἀγαθοὺς ποιεῖ, τὸ δὲ χρονίσαι περὶ
παιδείαν σπουδάζοντας: —

## Τῷ αὐτῷ:

Πρότερον μὲν ὦ πάτερ ἐγράφουσοι, δεκαετίαν ἐκπληρώσας, οὕτως ἐπαν-
έρχεσθαι πρὸς ὑμᾶς ἐβουλόμην· νῦν δὲ ἀκούσας τὴν τυραννίδα,
οὐκ ἂν ἔτι ὑπομείναιμι ἐν ἀσφαλεστέρῳ τῶν πολιτῶν εἶναι· ἀλλ' ἢν
ἄρξῃ τὸ ἔαρ πλευσοῦμαι θεοῦ σώζοντος· νῦν μὲν γὰρ μετόπωρος

ἐπὶ τοῦ χειμῶνος, οὐκ ἐδυνάμην. ἐπεὶ καὶ τέως ἄτοπον ὁμοίους ἡμᾶς εἶναι τοῖς ἐνταῦθα, ἄν τι ταραχθῇ τῆς πατρίδος, ἀποδιδράσκουσιν ὅπῃ τύχοι. ἀλλὰ μὴν τότε μάλιστα παρεῖναι, ὅτε ἀνδρῶν ὠφελησόντων δεῖται. εἰ δὲ καὶ παντάπασιν ἐν ἀδυνάτῳ εἴη τὸ ὠφελεῖν, τὸ γοῦν μετέχειν βλάβης ἑκόντα, ἀρετὴ μὲν παραπλησία μοι δοκεῖ· χάρις δὲ ἴσως ἐνδεεστέρα. θαρραλεώτερον δέ σοι γέγραφα, ἐπεὶ καὶ Λύσις τὴν ἐπιστολὴν ἐκόμισεν :—

## Τῷ αὐτῷ

Ὄντως Κλέαρχος ὥς μοι ἔγραφες, οὐχ οὕτως Σιλωνὸν δέδοικε κατειληφότα αὐτοῦ τὸ φρούριον, ὡς ἡμᾶς φιλοσοφοῦντας. ἐπεὶ ἐκεῖνον μέν γε οὐκ ἀπέβαλε τέως τοῖς πολιορκήσασιν ὥς πυνθάνομαι. ἐπ' ἐμὲ δὲ ἧκέ τις Θρᾷξ, δορυφόρος αὐτοῦ γενόμενος. ἐγὼ γὰρ μετὰ ταῦτα καὶ μικροῦ ὕστερον ἢ γραφῆναί σοι τὴν περὶ τῆς νόσου περὶ ἡμῶν ἐπιστολήν, ἐπεχείρισεν· ἀνειληφὼς δὲ ἐμαυτὸν ἱκανῶς ἤδη καί μοι περὶ ἕκτην ὥραν μόνῳ περιπατοῦντι ἐν τῷ ὁδῷ, καὶ περί τινος σκέμματος φροντίζοντι, αἰφνιδίως προσῆλθεν. ἐγὼ δὲ ἀθρόως μὲν ὑπενόησα ὅπερ ἦν. ὡς δὲ ξιφίδιον τι ὁρῶ κακῶς μεταλαμβάνουσαν, βοήσας τε αὐτὸν ἐξέπληξα καὶ προσδραμὼν τὴν δεξιὰν αὐτοῦ μετειληφότος ἤδη τὸ ἐγχειρίδιον, καταλαμβάνω. καὶ τὸ λοιπὸν δὴ λακτίζων καὶ παρασύρων τὸν βραχίονα ἐξέβαλον αὐτοῦ τὸ ξίφος· καὶ ἐτρώθην μὲν, κατενεχθέντος αὐτοῦ ἐπὶ τὸν πόδα, οὐ χαλεπῶς δὲ ὅμως. ἐκ τούτου δὴ ἰλιγγιῶντα ἔδησα τῷ ἰδίῳ ζώματι, ἀποστρέψας εἰς τοὐπίσω τὼ χεῖρε. καὶ πρὸς τοὺς στρατηγοὺς ἄγω. κἀκεῖνος μὲν ἔτισε δίκην. ἐγὼ δὲ, οὐδὲν δειλότερος εἰς τὸν φόβον γέγονα, ἀλλὰ τῶν ἐτησίων παυσαμένων ὅπως ἂν ἄγω πλάσσομαι. ἄτοπον γὰρ τυραννουμένης τῆς πατρίδος ἡμᾶς δημοκρατεῖσθαι. καὶ τὰ μὲν ἐμὰ ὡς ἂν ἔχῃ, ἀσφαλῶς ἔχει. ἀγαθὸς γὰρ καὶ ζῶν καὶ ἀποθνήσκων ἔσομαι. ὅπως δ' ἔτι καὶ ὑπὲρ τῆς πατρίδος πολιτευώμεθα, πεῖθε τὸν Κλέαρχον, ὅτι φιλοσο-

ὁδῷ οὖν

φήσαντες ἡσυχίας ἐχόμεθα· καὶ τέως ἀπο-
λίποντοι τὰς ψυχὰς ἔχομεν· ταῦτα δὲ καὶ διὰ
Νυμφίδος πέμπε θε αὐτοῦ, ὃς ἡμῖν μὲν φίλος· ἐκείνω
δὲ καὶ συγγενής ἐστι· οὕτως γὰρ ἂν πορρωτάτω πά-
σης ὑποψίας ἀπάγοιτο· ἀπροκαλύπτως δέ σοι
γράφομεν· ἐπεὶ καὶ πιστοῖς ἐπιτιθέμεθα ἀνδράσι
τὰς ἐπιστολάς· καὶ Κλέαρχος ὡς ἐδήλοις καλῶς
ποιῶν, περιεργῶν ταῦτα οὐ πολυπραγμονεῖ:

τῷ αὐτῷ:

Ἐκ Βυζαντίου θρασύτερον μέν, ταχεῖ δὲ ὅμως πλῷ δια-
σωθείς, ἔγνων, αὐτός τε ἐπιμεῖναι χρόνον ὃν ἄν μοι
καλῶς ἔχειν δοκῇ, καὶ πρὸς ὑμᾶς ἐκπέμψαι Κρω-
βύλον τὸν θεράποντα, ἵνα τὴν κάθοδον πράττοιμι
ὠφελίμως τῇ πατρίδι· τὸ μὲν γὰρ ἡμέτερον ἀσφαλές,
οὐκ ἔτι Κλεάρχῳ ἐστίν· βούλομαι δ' ἐπὶ πρᾶξιν
ἐλθεῖν ἅπαξ, καὶ καθόλου σοι τὴν ἐμὴν γνώμην δηλῶσαι·
ἐμοὶ γὰρ δοκεῖ τῇ μὲν πατρίδι ὁ μέγιστος εἶναι κίν-
δυνος μετὰ τῆς τυραννίας ἤδη παρούσης· νῦν τε γὰρ ὡς
πυνθάνομαι σφαγάς τε ἀνδρῶν καὶ φυγὰς ὑπο-
μένει· στερομένη μὲν τῶν ἀρίστων πολιτῶν·
τοῖς δὲ ἀσεβεστάτοις δουλεύουσα. Καὶ ἐς αὖθις οὐχ
ὁ τυχὼν αὐτῇ κίνδυνος μή ποτε ἐκ τῆς πολ-
[illegible] τυραννίας οἷς μὲν πόθος τοῦ τυραννεῖν,
οἷς δὲ συνήθεια δουλείας γένηται· καὶ τὸ λοιπὸν
ἐς μοναρχίαν ἀκατάλυτον περιστῇ τὰ πράγματα·
μικραὶ γὰρ δὴ ῥοπαὶ καὶ τῶν πολυχρονίων σχεδὸν
ἁπάντων ἀπαύστων ἀρχαὶ εἰσὶ κακῶν· καὶ ἔοικεν ὅμοιον
τι ποιοῦσι τοῖς νοσήμασι τῶν σωμάτων· ὥσπερ
γὰρ ἐκεῖνα περὶ μὲν τὰς ἀρχὰς ῥᾷον ἀπολύεται

τῶν ἄρθρων ἐνισχύσαντα καὶ δυσίατα, ἢ καὶ τελέως
ἀνίατα γίνεται, οὕτω καὶ τὰ ἐν ταῖς πολιτείαις
νοσήματα, μέχρι μὲν μήπω τι ἐλευθερίας ἰσχύει
καὶ ἐπέρχεται τὸ δουλούμενον, παράταξις λίαν
ἰσχυρὰ γίνεται πρὸς τὸ βουλόμενον τὸ πλῆθος·
ἐπειδὰν δὲ ἅπαξ ὑπερισχύσῃ τὸ κακὸν καὶ μη-
κέτι ᾖ τοῖς ἄλλοις λόγος ὅπως αὐτοῦ ἀπαλλά-
ξωσιν ἑαυτούς, ἀλλ' ὅπως ἂν ῥᾷστα ἐν αὐτῷ δια-
γοῖεν, τότε ὁ παντελὴς ὄλεθρος γίνεται. ἡ μὲν
οὖν πατρὶς ἐν τοιούτοις κακοῖς καὶ κινδύνοις ἐστί·
ἐγὼ δέ, εἰ μὲν αὐτὸ ἐφ' ἑαυτοῦ βούλοιο τοὐμὲ σκέ-
πτεσθαι, καὶ πάνυ ἀσφαλὴς εἶναι. δουλείαν γὰρ
ταύτην ἔγωγε νομίζω ἣ μετὰ τῶν σωμάτων
καὶ τὰς ψυχὰς ὑφ' ἑαυτὴν ἔχει· ἡ δὲ τῆς μὲν ψυχῆς
οὐδ' ὁτιοῦν ἁπτομένη, τὸ δὲ σῶμα μόνον ἔχουσα,
οὐδὲ δουλεία τυγχάνειν ἔμοιγε δοκεῖ. τεκμήριον
δέ· ἅτε δουλείας κακὸν τοῦτο ἐστὶ ψυχὴν κατα-
βαίνει· ἐπεὶ ἄλλως οὐδὲ κακὸν λέγοιτο ἄν. φόβος
γὰρ τοῦ παθεῖν τι καὶ ἐκ τοῦ παθεῖν λύπη τὰ
δεινότατα τοῖς μὴ ἐλευθέροις· τί οὖν ἄν τις μὴ
φοβῆται μέλλον κακόν, μηδὲ ἐστὶ τῶν γινομένων
ἄχθηται, δουλεύσοι; καὶ πῶς ὅγε μὴ ἔχων τὰ
δουλείας κακά. ἴσθι οὖν τοιοῦτον μὲν με ὑπὸ
φιλοσοφίας γενόμενον ὁποῖον κἂν δήσῃ Κλέ-
αρχος, κἂν ὁτιοῦν δράσῃ τῶν χαλεπῶν, οὐδέ-
ποτε ποιήσῃ δοῦλον· οὐδέποτε γάρ μου τὴν
ψυχὴν χωρήσεται ἐν ᾗ τὸ δοῦλον ἢ τὸ ἐλεύθερ-
ον· σῶμα γε ἀεὶ σὺν τύχαις κρεῖττον, κἂν ὑπ' ἀν-
δρὶ μὴ τάττηται δεσπότῃ. ἢν δέ με ἀποκτείνῃ

μεγαλοψυχία

τότε σὺ τὴν τελείαν ἐλευθερίαν χαριεῖταί μοι. οὐ γὰρ οὐδὲ τὸ περιέχον σῶμα ᾠκείωσε τῇ ἑαυτοῦ δουλείᾳ. ταύτῃ τινὰ οἰκονομίαν ἐμὴν ψυχὴν δοκεῖς κεχωρισμένην τοῦ σώματος. οὐ μόνον δὲ ἐγὼ ὅ ἂν πάσχω ἐλεύθερος, ἀλλὰ καὶ Κλέαρχος ὅ ἂν διαθῇ με δοῦλος γενήσεται. φοβούμενος γὰρ διαθήσει. δέος δέ, οὐδὲν ἔχει ψυχῆς ἐλευθερία.

Τὰ μὲν οὖν ἐμὰ ἐφ' ἑαυτῷ σκοπῶν ὡς ὁρᾷς ἀσφαλέστερα εἰς τὸ παθεῖν, ἢ Κλεάρχῳ εἰς τὸ δρᾶσαι. καὶ τό γε ἐμὸν οὐκ ἐπιμελείας, ἀλλ' ὀλιγωρίας δεῖται. τὸ γὰρ ἀρχὴν φροντίζειν περὶ αὐτῶν, ἀνδρὸς ἀτίμου πάντῃ ἐλευθέρου. τὰ δὲ τῆς πατρίδος συνημμένα μοι, οὐκ ἐπιτρέπει τὴν αὐτονομ ταύτην ἐλευθερίαν. ἀλλ' ὑπὲρ πολιτεύεσθαι ἀναγκάζει καὶ κίνδυνον ἔχειν. κίνδυνον δέ, οὐχὶ μὴ αὐτός τι πάθω, ἀλλὰ μὴ παρασχὼν τι τὴν πατρίδα οὐκ ὠφελήσω. διὰ τοῦτό μοι ἀνάγκη καίπερ μὴ φοβουμένῳ θάνατον, προνοεῖν, ὅπως μὴ πρότερον ἀποθάνω, ἢ ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν δυνήσομαι. πολιτεύου δὴ πρὸς τὸν τύραννον ἃ καὶ πρότερον οὖν οἱ ἔγραφον, πείθ αὐτὸν ὅτι ἡσυχίας ἐρασταί ἐσμεν. καὶ γράφε ἡμῖν, ἐὰν καὶ ἄλλο τι σοι δοκῇ πρὸς τὴν ἀληθῆ πολιτείαν διήκειν. ἐπεὶ ἀνάγκη μοι εἰς τὴν τῆς πατρίδος ἐλευθερίαν ἀφαιροῦντι τῆς ἐμαυτοῦ, φροντίζοντι περὶ τούτων ὡς βουλομένῳ:

## Τῷ αὐτῷ

Ἐπὶ μὲν τῷ συμπεπεῖσθαι τὸν τύραννον οἷς περὶ ἐμοῦ πρὸς αὐτὸν ἔλεγες, συγχαίρω τῇ περὶ ἰ

γράφω γὰρ καὶ αὐτὸς ὡς σὺ ἐβουλεύσας· ἀπαλλάξω μὴν
αὐτοῦ ἀπὸ τὸ πλῆθος· ὡς μάλιστα ἔνεστι· τοὐν-
αντίον γὰρ ἂν ποιῶν ψευσαίμην τοὺς ἐμαυτοῦ
πολίτας καὶ φίλους, ὧν δ' ἐξ ἐμοῦ ἤλπισαν· καὶ
ταῦτα οὐκ ἀξίους ὄντας ἀπατᾶσθαι· τὸ δὲ ὠμὸν
εἶναι τὸν τύραννον τελέως καὶ χαλεπόν, ὠφελιμώ-
τερον ἔγωγε ἡγοῦμαι τῇ πόλει, ἢ τὸ δημοκρατεῖν
αὐτοῦ· καὶ περικαλύπτεσθαι δόξαν μετριότητος.
Τὸ δ' αἴτιον, ὅτι οἱ μὲν χαλεποὶ διαφθείρονται ταχέως
καὶ ἂν μὴ καταλυθῶσι, μῖσος ὅμως τυραννίδος
κατέλιπον τῷ πλήθει· καὶ παντελῶς τὴν μοναρ-
χίαν ἐφ' ἑαυτῶν διέβαλον· οὕτως οὖν συμβαίνει
τὸν γοῦν λοιπὸν χρόνον, φυλακτικωτέρους γίνε-
σθαι καὶ προνοητικωτέρους τῆς δημοκρατίας
ἅπαντας. ὅταν δέ τις δουλωσάμενος ἐκ δημοκο-
πήσῃ τοὺς δουλωθέντας καὶ ἀναιρεθῇ ταχέως, πολ-
λὰ ὅμως ἐγκαταλείπει τυραννίδος ἐν ἑκάστοις κακά·
ὧν οἱ μὲν ἔτι ποθοῦνται ὠνήσασθαι· οἱ δέ, ἄλλως
δημαγωγηθέντες, τυφλοὶ τῶν κοινῇ συμφερόντ-
ων εἰσί· καὶ τόν τε ἀναιρεθέντα οἰκτείρουσιν ὡς δὴ μέτρι-
ον καὶ τὴν τυραννίδα, οὐχ ὡς ἀνήκεστόν τι φυλάττονται
κακόν· ἀγνοοῦντες κἂν πάντα τις ᾖ μέτριος τύ-
ραννος διὰ τοῦτο καταλυτέος ἐστίν· ὅτι δὲ ἔξεστιν
αὐτῷ καὶ χαλεπῷ εἶναι· Κλέαρχος δὴ ὠμὸς ὤν, αὐ-
τός τε ἐχθρότατος εἶναι μισούμενος· καὶ τοῖς ἄλλοις
δυσκατορθωτέραν ποιήσει τὴν τυραννίδα· προσ-
ποιούμενος δ' εἶναι μέτριος, αὐτός τε ἂν ταύτην
τὴν δόξαν ἐκαρπώσατο· τοῖς τε βουλομένοις
ὕστερον εὐέμβατον ἀπολίποι τὴν ἀκρόπολιν·

Ἀλλὰ ταῦτα μὲν καὶ σοὶ δῆλα δὴ φανερά· τοῦ δὲ
τρόπου τῆς γραφῆς ἐν ἀποδόσει τῶν ἐπιστολῶν,
χαίρω ὅτι δὴ σύ γε ἀσφαλῆ ἐνόμισας· καὶ τὸ τῆς
μαρτυρίας μὴ ἀτόπως εἰρῆσθαι· ἔπεμψα δέ σοι
καὶ τὸ ἀντίγραφον τῆς πρὸς τὸν Κλέαρχον ἐπιστολῆς·
δι' ἣν ... ποιήσας ἐπὶ τῇ δὲ αὐτῇ
ἡ γυνή μου καταφρονῇ, ὡς λογομανοῦντος τελέως :—

## Χίων Κλεάρχῳ :—

Ἐμαθήτευσα μὲν φιλοσοφίας χάριν διατρίβοντι τῶν πο-
λιτῶν τινὲς φίλων καὶ ὁ πατὴρ ἔγραψεν, ὡς δι' ὑπο-
ψίας εἴην πρὸς σέ· καὶ τὰς αἰτίας ἐκέλευον ἀπο-
λύσασθαι· τοῦτο γὰρ δὴ καλὸν εἶναι ἐμοὶ καὶ
ἄμεινον· ἐγὼ δέ, ὅτι μὲν ὀρθῶς παρῄνουν ταῦτα,
σαφῶς ᾔδειν· ἠγνόουν δὲ ἀφ' ὧν διεβλήθην· καὶ
τοῦτό μοι πρὸς τὴν ἀπολογίαν ἦν ἄπορον· οὐδὲ
γὰρ αὐτὸς παρῆν, ὅτε παρέλαβες τὴν ἀρχήν,
οὔτε ἀπὼν ἐδυνάμην ἐναντιοῦσθαι, οὐδ' ὅλως
ἢ λόγος, ἢ ἔργον τι τῶν ἐμῶν, ἐπιμέμιχεν τινὰ ἀρχὴν
πρὸς τὰ αὐτόθι πράγματα· τίνας δὲ ἂν δι' ὑπο-
ποιεῖ πρὸς μόναρχον ἐναντιώσεις ἀνθρώπου μετ' ὀλίγων
οἰκετῶν ἀποδημοῦντος, οὐκ ἔσω ηὕρισκον· καὶ
διὰ τοῦτό με ἠπόρουν ἀπολογίας ὅτι οὐδὲν ἑώρων
τὸ κατηγορούμενον· οὐκ ἠπόρουν δὲ πάλιν τῷ
μηδὲν ἐννοεῖσθαι τοιοῦτον ὁποῖον ἴσως ὑποπτεύομαι·
Ἀλλὰ καὶ πάνυ ἔχων πεῖσαι σε ὅτι ἡ ἐμὴ ψυχή, οὐδενὶ
ἐμβατός ἐστι τῶν τοιούτων βουλημάτων· οἶμαι γε
ὅσον, εἰ καὶ μὴ πεφιλοσόφηκα, ἱκανὸν ἂν γενέσθαι
τεκμήριον τοῦ μὴ ἀπεχθῶς ἔχειν πρὸς σέ, τὸ μηδὲ ἠδι-
κῆσθαι τι ὑπὸ σοῦ· οὐδὲ γὰρ οἱ ἀφιλοσόφητοι μὴ παθόν-

πάντα πᾶσί γε μανέντες καθηδύνειν τινὰ τὰς ἀπεχθεί-
ας ἐπαναιροῦνται· οὐδὲ ὁρῶντάς τινας ὥσπερ παιδι-
κῶν ἐπιτηδευμάτων, οὕτω καὶ μίσους λαμβάνουσι
πολλοῦ δεῖ· ἀλλὰ καὶ πάνυ ἐπίστανται ὅτι οὐδὲν
ἀνοίας ἀπεχθείας ἀνιαρώτερον· ὅταν δὲ ὑπὸ ἀνηκέ-
στου τινὸς διαιρεθῶσιν ἀπὸ ἀλλήλων τὰς ψυχάς,
τότε ἀπεχθάνονται· καὶ οὐδὲ τότε ἔχοντες· ἡμῖν
δὲ μέχρι τῆς νῦν ἡμέρας, οὐδὲν οὔτε μέγα οὔτε
μικρὸν ὑπῆρκται πρὸς ἀλλήλους, ἀπεχθείας
ἔργον· ἀλλὰ σὺ μὲν, οὐδὲν πλέον ὑπονοίας καὶ
λόγου· ἐγὼ δὲ καθαρεύω τὴν ψυχὴν καὶ ἀπὸ
τούτων· τί οὖν βουλόμενος ἐξαίφνης στασιάζω
πρὸς σέ· καὶ ταῦτα μηδέπω καὶ τήμερον ἑωρα-
κὼς ἀρχομένην ὑπὸ σοῦ τὴν πατρίδα· ἢ μὴ διὰ
φυσῶσί με αἱ πολλαὶ τριήρεις καὶ οἱ ἱππεῖς· ἵνα εἰ
μηδὲν ἄλλο ὑποπτεύοις, τό γε δύνασθαί με
ἐχθρὸν εἶναι· ἀλλὰ ἀπεδήμησα μὲν σὺν ὀκτὼ
θεράπουσι καὶ φίλοις δύο· Ἡρακλείδῃ καὶ Ἀγαθω-
νι· ἀναλώσας [illegible], δύο τῶν οἰκετῶν ἀποβαλών.
Ταῦτα δὲ, οὐκ οἶδ' ὅπως πείθουσί σε ἱκανὴν εἶναι
πρόφασιν ἐπὶ σέ· ἐκεῖνο δ' οὖν σκόπει ὅτι εἰ
συνήδειν ἐμαυτῷ δικαίως ὑποπτευομένῳ,
οὐκ ἄν ποτε ἑκὼν ἐμαυτὸν ἐνεχείριζον τῷ ὑπο-
πτεύοντι, ἢ οὕτω τις θρασὺς ἀπεχθῶν εἰμί,
ὥστε μηδὲ τὴν πρὸς ἐμαυτὸν φυλάττειν φι-
λίαν, ἀλλ' ἔχοντί τι ἐγχειρίζειν τὸ σῶμα τοῖς δι-
καίως ἀποτιμωρησομένοις· ἀλλὰ ταῦτα μὲν,
καὶ τοῖς μὴ φιλοσοφήσασιν ἱκανή· μᾶλλον δὲ
πέρα τοῦ ἱκανοῦ ἀπολογία· ἐγὼ δὲ, οὐδ' ἄλλως

ἀφυὴς γενόμενος πρὸς τὰ ἐκ φιλοσοφίας ἀγαθά,
ὅπερ ἔλαβον τῇ φύσει ὡς μάλιστα ἐνῆν· καὶ νεανὶ
γενόμενος, οὐκ ἀρχὰς οὐδὲ φιλοτιμίας ἑλόμην·
ἀλλὰ εὐθέως θεατὴς ἤρων γενέσθαι τῆς φύσεως τῶν
λόγων· καὶ οὗτος μὲν ὁ ἔρως ἤγαγεν εἰς Ἀθήνας·
καὶ Πλάτωνι ἐποίησε φίλον· καὶ μέχρι γε νῦν,
οὔπω αὐτοῦ πεπλήσομαι. φύσεως μὲν οὖν οὕτως
ἔσχον πρὸς ἡσυχίαν· ὡς ἔτι παντελῶς νέος ὤν, κα-
ταφρονῆσαι πάντων· ὅσα ἀρχὴν ταρακτικώτερον
βίου δύναται. ἐλθὼν δ' εἰς Ἀθήνας, οὔτε ἐκώνησε-
τον, οὐδ' ἐμαυτῆς εἰς ἐμπήσσοντος ὥσπερ Λακεδαιμο-
νίοις οἷον Ἀθηναίοις ἐπολέμουν· οὐδὲ ταῦτα ἐπαιδευ-
όμην, ἀφ' ὧν τυράννοις ἢ βασιλεῦσιν ἐχθρὸς ἐσό-
μαι· ἀλλὰ ἀνδρὶ ἡσυχίας ἐραστῇ διελεγόμην
τὸν ἐπίσημα θεολόγον παιδευόμενος· καί μοι
πρῶτόν τι τὸ ἀπ' αὐτοῦ ἐπηγγέλθη, ἡσυχίαν ποθ-
ταύτην γὰρ τοῦ κατὰ φιλοσοφίαν λόγου φῶς
εἶναι· τὴν δὲ πολιτείαν ἐς πολὺ πραγματειώδην
ὥσπερ ζόφου τινὰ ἐπικαλύπτειν· καὶ ἀνάρμοστον
ποιεῖν τοῖς ἐρανοῦσιν· ὡς δ' οὔτε πεφυκέναι
καλῶς ἐδόκουν πρὸς αὐτήν, οὔτε πείθεσθαι
ῥᾳδίως περὶ αὐτῆς, τηνικαῦτα ἤδη θεὸν παντ-
επόπτην καὶ κόσμου κατασκευὴν ἐμάνθανον·
καὶ φύσεως ἀρχὰς ἑώρων, καὶ δικαιοσύνην τιμᾶν
ἐδιδασκόμην· καὶ ὅσα τοιαῦτα ἄλλα παι-
δεύει φιλοσοφία· καὶ οὐδὲν οἶδ' ὅπως τοῦ [illegible]
ταῦτα· ἀλλ' οὐδὲ τοῦ ζῆν τιμιώτερον. τί
γὰρ κάλλιον, ἢ ἄνθρωπον ὄντα θνητῆς φύσεως καὶ θείου
κεκραμένον μοίρᾳ, μόνοις ἀκηράτοις τοῖς ἀθανάτ-

ἑαυτοῦ· Καὶ ταῦτα πρὸς τὸ συγγενὲς ἄγειν· συγγενὴ
δέ, τῷ θείῳ τὰ θεῖα λέγω ταῦτα· ηὐχόμην τὸ
καὶ σπουδάζων μαθεῖν· πολιτείας δέ, ἀνέξῃ γὰρ
μετὰ παρρησίας μου λέγοντος, οὐδὲ μεμνῆσθαι
ἠξίουν· ἔμαθον δέ, ἄλλα τε πολλὰ καὶ ταῦτα,
οἷς νῦν χρήσομαι πρὸς σέ· τὸν μὲν μὴ ἀδικοῦντα
τιμᾶν· τὸν δ᾽ ἀδικοῦντα, ἄριστον μὲν ὑβρισταῖς
ἀμείβεσθαι· εἰ δὲ μή γε, ἡσυχίᾳ· καὶ φίλον μὲν τιμι-
ώτατον ἡγεῖσθαι· ἐχθρὸν δὲ μηδένα ἑαυτῷ κατα-
σκευάζειν· ἀλλὰ καὶ τὸν ὄντα, φίλον ποιεῖσθαι· καὶ
μηδὲν τηλικοῦτον νομίζειν κακόν· ὅσον ἂν ταρά-
ξας τὴν ψυχὴν καὶ οἰκείων ἔργων τρέψας πρὸς
ἕτερα. ἆρά γε ἐπιβουλῶ μοι νομίζεις χρῆσθαι
ταῦτα ἀδοτί; μηδαμῶς· ἀλλὰ σοὶ μέν, ἀ-
ποκείσθω πολέμων ἔργα καὶ πολιτειῶν· ἡμῖν δέ,
τῆς σῆς τοσοῦτον ἀποτετιμήσθω τυραννίδος,
ὅσον ἀταράχῳ ἀνδρὶ δοκεῖ ἐν ἡσυχάσαι· πάθο-
μαι δ᾽ ὅτι ἣν καὶ διαλέγεσθαί με ἀφῇς τοῖς φίλοις,
ἠρεμαίοις ἂν αὐτοῖς ποιήσαιμι καὶ ἀπολιτεύτους
ὧν σὺ βούλει· διεξιὼν τὰ ἀεὶ ἡμῖν μελετώμενα
ἡσυχίας ἐγκώμια· ἐπεὶ καὶ τέως ἂν εἴην μὴ ταῦ-
τα φρονῶν, ἀχάριστος· φέρε γὰρ ἄν μοι παραιτου-
μένῳ τί ὧν σὺ ὑπέσχες ἢ πρᾶγμα ἐπιστάτῃ θεὸς
ἡσυχία· Καὶ ταῦτα λέγει· ἀχάριστος εἶ καὶ πο-
νηρὸς ὦ Χίων· καὶ οὔτε τῶν καλῶν ἐκείνων μα-
θημάτων, οὔτε ὅλως σεαυτοῦ μνήμην ἔχεις, ἐμοὶ
χρώμενος· δικαιοσύνην ἤσκησας, καὶ σωφροσύ-
νην ἐκτήσω· καὶ θεοὺς ἔμαθες καὶ τὴν σεαυτοῦ
πρὸς αὐτοὺς συγγένειαν ἀνενεώσω· καὶ τῶν παρ-

νοτο ρ τοῖς θαυμάζων δὲ τοῖς ἄλλοις, κατεφρο-
νήσας φιλοτιμίας καὶ πλούτου· καὶ ὅσα τούτοις ὅ-
μοια. εἶτα νῦν ὅτε ἀποδιδόναι σε δεῖ τὴν χάριν
μείζονι ἤδη νόμῳ καὶ κρείττονι ψυχῇ συνόντα μοι
καὶ διαλεγόμενον ἀπολαῦσαί με, οὐδὲ μεμνημένος
ὅτι οὐ ταῦτα ἀλλὰ μόνον ἐκ φιλοσοφίας ἔμαθες
ἀλλὰ καὶ τὸ ζητεῖν δεξιῶς ἃ μήπω οἶδας, καὶ πρὶν
ἂν σύ με ζητήσαιας ἢ ἔροιο, ἐμοῦ φερόμενος
ταῦτ᾽ ἂν λέγοι, τί ἂν ἀποκρίναιμι μὲν πρὸς αὐτὴν
δίκαιον. ἐγὼ μὲν γὰρ οὐδὲν ὁρῶ. ἀλλὰ μέντοι
ἴσθι, ὡς ἐγὼ ταῦτα πρὸς ἐμαυτὸν ἀεὶ λέγω. λέγει
γὰρ ἕκαστος πρὸς ἑαυτὸν ἃ φρονεῖ· καὶ οὐκ ἄν ποτε
αὐτῶν ἀπολαφθείην· ὥστε οὐδέν σοι δέος δεξιὸν με
ἄλογον. οὐδὲ γὰρ οὐχ ἅψεται τῶν σῶν πρα-
γμάτων ἡ ἐμὴ ἡσυχία: +

## Χίων Πλάτωνι χαίρειν

Δυσὶν ἡμέραις τῶν Διονυσίων ἔμπροσθεν τοῖς
πιστοτάτοις μοι τῶν θεραπόντων Πυλάδην
καὶ Φιλόκαλον ἐξέπεμψα ὡς σέ. μέλλω γὰρ τοῖς
Διονυσίοις ἐπιτίθεσθαι τῷ τυράννῳ· πολιτευσά-
μενος ἐκ πολλοῦ ἀνύποπτος αὐτῷ γενέσθαι.
πέμπεται δὲ ἐν ταύτῃ τῇ ἡμέρᾳ πομπὴ τῷ
Διονύσῳ· καὶ δοκεῖ ὀλιγωρότερον ἔσεσθαι αὐτῷ
τὰ τῶν δορυφόρων. εἰ δὲ μή, κἂν διὰ πυρὸς
ἐλθεῖν δέῃ, οὐκ ὀκνήσομεν οὐδὲ καταισχυνοῦμεν
οὔτε ἑαυτούς, οὔτε τὴν σὴν φιλοσοφίαν· καὶ
τὰ τῶν συνωμοτῶν δέ, ἐστὶν ἡμῖν ἰσχυρά· πίστει
ἢ πλήθει, ἰσχυρότερα. οἶδα μὲν οὖν ὡς ἀναιρε-
θήσομαι· τελειώσας δὲ μόνον τὴν τυραννοκτονίαν,

τοῦτο παρέρχομαι· μετὰ τροπαίου γὰρ
ἂν καὶ νικητηρίων, ἀπολίποιμι τὸν βίον,
ἢ καταλύσας τὴν τυραννίδα, ἐξ ἀνθρώπων ἀπαλ-
λάσσομαι· σημαίνει γάρ μοι καὶ ἱερὰ καὶ οἰωνίσ-
ματα, καὶ πᾶσα ἁπλῶς μαντεία, θάνατον, κα-
τορθώσαντι τὴν πρᾶξιν· ἐθεασάμην δὲ καὶ
αὐτὸς ἐναργέστερον, ἢ κατ᾽ ὄνειρον ὄψιν· ἔδοξε
γάρ μοι γυνὴ θεῖόν τι χρῆμα κάλλους καὶ μεγέ-
θους, ἀναδῆσαί με κοτίνῳ καὶ ταινίαις· καὶ μετὰ
μικρὸν ἀποδεῖξαί τι μνῆμα καλὸν, καὶ
εἰπεῖν· ἐπειδὴ κέκμηκας ὦ Χίων, ἤδη ἐς τοῦτο
τὸ μνῆμα ἀναπαυσόμενος· ἐκ τούτου δὴ
τοῦ ὀνείρατος, εὔελπις εἰμὶ καλοῦ θανάτου τυχ-
εῖν· νομίζω γὰρ, μηδὲν κίβδηλον εἶναι ψυχῆς μάν-
τευμα· ἴσως καὶ σὺ οὕτως ἐγίνωσκες· εἰ δὲ
καὶ ἀληθεύσειεν ἡ μαντεία, μακαριώτατον
ἐμαυτὸν ἡγοῦμαι γενήσεσθαι, ἢ εἴ μοι βίος μοι
μετὰ τὴν τυραννοκτονίαν ἐς γῆρας ἐδίδοτο.
καὶ γάρ μοι μεγάλα διαπραξαμένῳ πρό-
τερον ἐξ ἀνθρώπων ἀπαλλάττεσθαι, ἢ χρόνου τι
σὺν αὐτοῖς ἀπολαῦσαι· καὶ ἃ ἂν δρασόμενοι, πολὺ
νομισθήσεται μείζονα οἷς πεισόμεθα· καὶ
αὐτοὶ τιμιώτεροι ἐσόμεθα τοῖς εὐπαθοῦσιν,
ἐν τῷ ἰδίῳ θανάτῳ τὴν ἐλευθερίαν αὐτοῖς ὠνη-
σόμεθα· μείζων γὰρ ὀφείλεται τοῖς εὐεργετηθεῖσιν
εἶναι φαίνεται, ἧς ὁ δράσας οὐ μεταλαμβάνει.
Οὕτως μὲν δὴ προθύμως ἔχομεν πρὸς τὴν μαν-
τείαν τοῦ θανάτου· σὺ δὲ χαῖρε ὦ Πλάτων
καὶ εὐδαιμονοίης ἐς τέλεον γῆρας· προσαγορεύω
δέ σε ὕστατα ὡς πείθομαι:







κηπουρῶ

σύνοικων

BIBLIOTECA UNIVERSITARIA
DE
SALAMANCA

ὑός

ηι ηι

eius ℟ Dns regnauit. euouae ℣ Nimis honora

Quem dicunt homines esse filium hominis dixit iesus
discipulis suis respondens petrus dixit tu es xps filius dei
uiui. et ego dico tibi quia tu es petrus et sup hanc petram
hedificabo ecclesiam meam ℣ Beatus es symon bariona
quia caro et sanguis non reuelauit tibi sed pater meus qui
est in celis. Grego ℟ Ego pro te rogaui petre ut non defic
at fides tua et tu aliquando conuersus confirma fratres
tuos ℣ Caro et sanguis non reuelauit tibi sed pater me
qui est in celis. Ciuuali ℟ Petre amas me tu scis do
mine quia amore pa sce oues meas ℣ Si
iohannis diligis me plus his tu scis do
mine quia amo te Pa sce ℟ Cum esset petrus in cru
ce uenit turba multa maledicens cesarem et fecerunt

ORA· Æ·SCHINES·IN· TIM